


Perkins and Heath. — Patent Hardened Steel Plate.

FROM THE LIBRARY OF

REV. LOUIS FITZGERALD BENSON, D. D.

BEQUEATHED BY HIM TO

THE LIBRARY OF

PRINCETON THEOLOGICAL SEMINARY

SCB
4343

M. c. 6

Payne's sale

C - P £2.16/=:

M: Wodhull
Jan: 6th 1776.

9135

William Turnbull
Nov. 19th 1867

"Andrew Turnbull, the learned
"scholar and printer in Paris,
"about the middle of the XVI.
"Cent. was from South of
"Scotland."

John W. Faires
June 2. 1877
Philadelphia

LIBRARY OF PRINCETON
MAR 18 1938
THEOLOGICAL SEMINARY

# ΑΠΟΛΙΝΑΡΙΟΥ

ΜΕΤΑΦΡΑΣΙΣ
ΤΟΥ ΨΑΛΤΗΡΟΣ,

διὰ στίχων ἡρωϊκῶν.

Apolinarij interpretatio Psalmorum, versibus Heroicis.

EX BIBLIOTHECA REGIA.

Βασιλεῖ τ' ἀγαθῷ κρατερῷ τ' αἰχμητῇ.

PARISIIS M. D. LII.
Apud Adr. Turnebum Typographum Regium.

Ex Priuilegio Regis.

Ἀπολινάριος λαοδικεὺς τῆς Συρίας, γεγονὼς ἐν ἡμέραις Κωνσταντίου καὶ Ἰουλιανοῦ τοῦ παραβάτου, καὶ ἕως τῆς ἀρχῆς Θεοδοσίου τοῦ μεγάλου, σύγχρονος Βασιλείου καὶ Γρηγορίου τῶν ἐκ Καππαδοκίας θαυμαζομένων· ἐγένετο δὲ γνώριμος ἀμφοτέρων, καὶ Λιβανίου τοῦ σοφιστοῦ, καὶ ἄλλων τινῶν. οὗτος οὐ μόνον γραμματικὸς καὶ τὰ ἐς τὴν ποίησιν δεξιός, ἀλλὰ πολλῷ πλείω καὶ ἐς φιλοσοφίαν ἐξήσκητο· καὶ ῥήτωρ ἦν ἀμφιδέξιος. οὗτος ἔγραψε καταλογάδην κατὰ Πορφυρίου τοῦ δυσσεβοῦς τόμους λ, καὶ δι' ἡρώων ἐπῶν πᾶσαν τὴν τῶν ἑβραίων γραφήν. ἔγραψε δὲ καὶ ἐπιστολάς, καὶ ἄλλα πολλὰ εἰς τὴν γραφὴν ὑπομνήματα. τοῦ δέ γε Ἀπολιναρίου καὶ Φιλοστόργιος μνήμην πεποίηται ἐν τῇ κατ' αὐτὸν ἱστορίᾳ, καί φησιν, Ἀπολινάριος γὰρ ἤκμαζε κατ' ἐκείνους τοὺς χρόνους ἐν τῇ Λαοδικείᾳ τῆς Συρίας, καὶ Βασίλειος ἐν Καισαρείᾳ τῆς Καππαδοκίας, καὶ Γρηγόριος ἐν τῇ Ναζιανζῷ· σταθμὸς δὲ οὗτος ὁ τόπος ἐπὶ τῆς αὐτῆς Καππαδοκίας. τρεῖς δὲ οὗτοι ἄνδρες τότε τοῦ ὁμοουσίου προεμάχουν κατὰ τοῦ ἑτεροουσίου μακρῷ πάντας παρενεγκόντες τοὺς πρότερον καὶ ὕστερον ἄχρις ἐμοῦ τῆς αἱρέσεως προστάντας, ὡς παῖδα παρ' αὐτοῖς κριθῆναι τὸν Ἀθανάσιον. τῆς τε γὰρ ἔξωθεν καλουμένης παιδεύσεως ἐπὶ πλεῖστον οὗτοι προεληλύθεισαν, καὶ τῶν ἱερῶν γραφῶν ὁπόσα εἰς ἀνάγνωσιν καὶ τὴν πρόχειρον μνήμην ἔτεινε, πολλὴν εἶχον τὴν ἐμπειρίαν· καὶ μάλιστά γε αὐτῶν, ὁ Ἀπολινάριος. οὗτος γὰρ δὴ καὶ τῆς ἑβραΐδος διαλέκτου ἐπαΐειν οἷός τε ἦν. καὶ μὴν καὶ συγγράφειν ἕκαστος ἐς τὸν αὐτοῦ τρόπον, ἦν ἱκανώτατος. τῷ μέν γε Ἀπολιναρίῳ τὸ ὑπομνηματικὸν εἶδος τῆς λέξεως μακρῷ ἄριστα εἶχε· Βασίλειος δὲ πανηγυρίσαι

χαμαιπετέστατος τὴν· τὴν δέ γε Γρηγορίου καὶ παρ' ἀμφοτέρους ἐξεταζομένῳ μείζω βάσιν εἰς συγγραφὴν ἔχειν ὁ λόγος· καὶ τὴν εἰπεῖν, Ἀπολιναρίου μὲν ἁδρότερος, Βασιλείου δὲ σταθερώτερος. τοσαύτης δ' αὐτοῖς ἐν τῷ λέγειν καὶ γράφειν δυνάμεως οὔσης, καὶ τὸ ἦθος οὐδὲν ἧττον οἱ ἄνδρες παρείχοντο πρὸς τὴν τῶν πολλῶν θέαν ἐπαγωγότατον· ὥστε καὶ οἷς ἑωρῶντο καὶ οἷς ἔλεγον, καὶ ὁπόσα γράφοντες διεδίδοσαν, διὰ πάντων ἥρουν εἰς τὴν ἑαυτῶν κοινωνίαν τοὺς καθ' ὁπωσοῦν αὐτῶν εὐμαρέστερον ἁλίσκεσθαι δυναμένους. τοσαῦτα περὶ αὐτῶν ὡς ἐν παραδρομῇ Φιλοστόργιος ὁ ἀρειανὸς ἔγραψεν.

Ταύτης Ἰουλιανὸς ὁ παραβάτης τῆς γνώμης καὶ περὶ πάντας τοὺς χριστιανοὺς ὑπῆρχεν ἀφορμῆς λαβόμενος, ὅπου γε καὶ μηδὲν ἐγκαλεῖν ἔχων, παραιτουμένοις θύειν ἰσοπολιτείας ἐφθόνει καὶ συλλόγων καὶ ἀγορῶν μετέχειν, καὶ τοῦ δικάζειν ἢ ἄρχειν ἢ ἀξιωμάτων κοινωνεῖν οὐ μετεδίδου. οὐ μὴν οὐδὲ τοὺς αὐτῶν παῖδας ξυνεχώρει ἐκδιδάσκεσθαι τοὺς παρ᾽ ἕλλησι ποιητὰς καὶ συγγραφέας, οὐδὲ τοῖς τούτων διδασκάλοις φοιτᾶν. ἐλύπει γὰρ αὐτὸν οὐ μετρίως Ἀπολινάριος ὁ σύρος, πρὸς παντοδαπὴν εἴδησιν καὶ λόγων ἰδέαν παρεσκευασμένος, Βασίλειός τε καὶ Γρηγόριος οἱ καππαδόκαι παρευδοκιμοῦντες τοὺς τότε ῥήτορας· ἄλλοι τε ἐπὶ τούτῳ πλεῖστοι ἐλλόγιμοι, ὧν οἱ μὲν ἐζήλουν τὰ ἐν Νικαίᾳ δόξαντα, οἱ δὲ ἐκ τῆς Ἀρείου ὥρμηντο αἱρέσεως. ἐντεῦθεν οὖν μόνον δημιουργεῖσθαι τὸ πείθειν οἰόμενος, οὐ συνεχώρει τοῖς χριστιανοῖς ἐν τοῖς τῶν ἑλλήνων ἀσκεῖσθαι μαθήμασιν. ἡνίκα δὴ Ἀπολινάριος οὗτος εἰς καιρὸν τῇ πολυμαθείᾳ καὶ τῇ φύσει χρησάμενος, ἀντὶ μὲν τῆς Ὁμήρου ποιήσεως, ἐν ἔπεσιν ἡρῴοις τὴν ἑβραϊκὴν ἀρχαιολογίαν συνεγράψατο μέχρι τῆς τοῦ Σαοὺλ βασιλείας, καὶ εἰς εἰκοσιτέσσαρα μέρη τὴν πᾶσαν πραγματείαν διεῖλεν, ἑκάστῳ τόμῳ προσηγορίαν θέμενος ὁμώνυμον τοῖς παρ᾽ ἕλλησι στοιχείοις κατὰ τὸν τούτων ἀριθμὸν καὶ τὴν τάξιν. ἐπραγματεύσατο δὲ καὶ τοῖς Μενάνδρου δράμασιν εἰκασμένας κωμῳδίας, καὶ τὴν Εὐριπίδου τραγῳδίαν, καὶ τὴν Πινδάρου λύραν ἐμιμήσατο, καὶ ἁπλῶς εἰπεῖν, ἐκ τῶν θείων γραφῶν τὰς ὑποθέσεις λαβὼν τῶν ἐγκυκλίων καλουμένων μαθημάτων, ἐν ὀλίγῳ χρόνῳ ἐπόνησεν ἰσαρίθ-

μοις καὶ ἰσοδυνάμοις πραγματείας, ἤθει τε καὶ φράσει καὶ χαρακτῆρι καὶ οἰκονομίᾳ τοῖς παρ' Ἕλλησιν ἐν τούτοις εὐδοκιμήσασιν· ὥστε εἰ μὴ ἀρχαιότητα ἐτίμων οἱ ἄνθρωποι, καὶ τὰ συνήθη φίλα ἐνόμιζον, ἐπίσης, οἶμαι, τοῖς παλαιοῖς τὴν Ἀπολιναρίου σπουδὴν ἐποίουν, καὶ ἐδίδασκον ταύτην, πλέον αὐτοῦ τὴν εὐφυΐαν θαυμάζοντες, ὅσῳ γε τῶν μὲν ἀρχαίων ἕκαστος περὶ ἓν μόνον ἐσπούδασεν· ὁ δὲ τὰ πάντων ἐπιτηδεύσας, ἐν κατεπειγούσῃ χρείᾳ τὴν ἑκάστου ἀρετὴν ἀπεμάξατο. οὐκ ἀγεννὴς δὲ καὶ πρὸς αὐτὸν τὸν βασιλέα ἤτοι τοὺς παρ' Ἕλλησι φιλοσόφους ἐστὶν αὐτοῦ λόγος, ὃν ὑπὲρ ἀληθείας ἐπέγραψεν, ἐν ᾧ καὶ δίχα τῆς τῶν ἱερῶν λόγων μαρτυρίας ἔδειξεν αὐτοὺς ἀποσκοληθέντας τοῦ δέοντος περὶ θεοῦ φρονεῖν. τάδε γὰρ ἐπιτωθάζων ὁ βασιλεὺς, τοῖς τότε διαπρέπουσιν ἐπισκόποις ἐπέστειλεν, ἀνέγνων, ἔγνων, κατέγνων· οἱ δὲ πρὸς ταῦτα ἀντέγραψαν, ἀνέγνως, ἀλλ' οὐκ ἔγνως· εἰ γὰρ ἔγνως, οὐκ ἂν κατέγνως. εἰσὶ δὲ οἳ Βασιλείῳ τῷ προστάτῃ τῶν ἐν Καππαδοκίᾳ ἐκκλησιῶν ταύτην τὴν ἐπιστολὴν ἀνατιθέασι, καὶ οὐκ ἀπεικός· ἀλλ' εἴτε αὐτοῦ, εἴτε ἄλλου ταῦτά ἐστιν, ἄγασθαι δίκαιον ἀνδρείας καὶ παιδεύσεως τὸν γράψαντα.

Ο τοῦ βασιλέως νόμος, ὃς τοὺς χριστιανοὺς ἑλληνικῆς παιδείας μετέχειν ἐκώλυε, τοὺς Ἀπολιναρίους, ὧν καὶ πρότερον ἐμνημονεύσαμεν, φανερωτέρους ἀπέδειξεν. ὡς γὰρ ἄμφω ἤστην ἐπιστήμονες λόγων, ὁ μὲν πατὴρ γραμματικῶν, ὁ δὲ υἱὸς σοφιστικῶν, χρειώδεις ἑαυτοὺς πρὸς τὸν παρόντα καιρὸν τοῖς χριστιανοῖς ἀπεδείκνυον. ὁ μὲν γὰρ εὐθὺς γραμματικὸς, τὴν ἄπε τέχνην γραμματικὴν χριστιανικῷ τύπῳ συνέταττε, τά τε Μωϋσέως βιβλία, διὰ τοῦ ἡρωϊκοῦ λεγομένου μέτρου μετέβαλε, καὶ ὅσον κατὰ τὴν παλαιὰν διαθήκην ἐν ἱστορίας τύπῳ συγγέγραπται· τοῦτο μὲν τῷ δακτυλικῷ μέτρῳ συνέταττε· τοῦτο δὲ καὶ τοῦ τραγῳδίας τύπῳ δραματικῶς ἐξειργάζετο, καὶ παντὶ μέτρῳ ῥυθμικῷ ἐχρῆτο, ὅπως ἂν μηδεὶς τρόπος τῆς ἑλληνικῆς γλώττης τοῖς χριστιανοῖς ἀνήκοος ᾖ. ὁ δὲ νεώτερος Ἀπολινάριος εὖ πρὸς τὸ λέγειν παρεσκευασμένος, τὰ εὐαγγέλια, καὶ τὰ ἀποστολικὰ δόγματα ἐν τύπῳ διαλόγων ἔθετο, καθὰ καὶ Πλάτων παρ' ἕλλησιν.

# ΑΠΟΛΙΝΑΡΙΟΥ ΜΕΤΑΦΡΑΣΙΣ ΕΙΣ ΤΟΝ ΨΑΛΤΗΡΑ.

## Ψαλμὸς αʹ.

*Δαβὶδ προφήτου καὶ βασιλέως μέλος.*

Ὄλβιος οὐ πεπόρευται δυσσεβέων ἐνὶ βουλῇ,
οὐδ' ἴχνος ἐστήριξεν ἀλιτροπάτοισι κελεύθοις,
οὐδ' ὀλοῆς ἕδρῃσιν ἐφίζετο λυμαντήρων·
ἀλλ' ἔχεν ἠϊθέῳ κραδίην συμφράδμονα θεσμῷ,
θεσπέσιον νύκτας τε καὶ ἤματα θεσμὸν ἀείδων.
ἔσσεται οἷά περ ἔρνος ἐφ' ὑδρηλοῖσι κελεύθοις,
καίριον ἀντέλλον σφέτερον μελιηδέα καρπὸν,
νωλεμέως φύλλοισιν ἀκειρεκόμοισι τεθηλός.
πάντα οἱ ἰθύνοιτο κατὰ χρέος ὅσσα τελέσσει.
οὐ τοῖοι γεγάασιν ἀτάσθαλοι, οὔποτε τοῖοι·
ἀλλὰ κόνει ἴκελοι, τὴν ἐκ χθονὸς ὤλεσ' ἀήτης.
τοὔνεκεν εἰς κρίσιν οὐδέποτ' ἀνστήσονται ἀλεῖται,
οὐδ' ἄρ' ἁμαρτίνοοι πινυτῶν βουλῇσι δικαίων·
οὕνεκεν εὐαγέων βασιλεὺς πάτον οἶδε δικαίων.
τοὔνεκα δυστήνων γενεὴ περιθέλυμνος ὀλεῖται.

## Ψαλμὸς β'.

Ἐπιγραφῆς ὁ ψαλμὸς εὑρέθη δίχα,
ἡνωμένος δὲ τοῖς παρ' ἑβραίοις στίχοις·
ἀλλ' ὡς δέ, δευτερεῦσε Δαβίδου κρότοις,
ἐπεὶ παρ' αὐτοῖς κεῖται ταύτης δίχα.

Τίφθ' ὑπεροπλίην κενεόφρονα σύνθετο φῦλα,
καὶ γαίης βασιλῆες ἀολλίσθησαν ἑτοῖμοι·
καὶ σφέων ἠγερέθοντο δικασπόλοι εἰς ἓν ἰόντες,
παμβασιλῆος ἐοῦτε κατὰ χριστοῖο θεοῖο.
δεσμοὺς μὲν σπάσομεν, ζυγόδεσμα δὲ ῥίψομεν αὐτῶν.
ὑψιμέδων θεὸς οὐρανόθεν δ' ἐγγελοίασε τοῖσδε,
ἐξαθερίζων τ' αὖ μυκτηρίσατ' ἀφραδέοντας.
τῆμος ἀμείλιχα πᾶσι κοτεσσάμενος καταλέξει,
καὶ χόλον ἀμπνείων πραπίδων σύμπαντας ἀτύξει.
αὐτός μ' ἡγεμονῆα κατέστησέν τ' ἐπιβήσας,
εὐαγεῖ ἐν ὄρει Σιῶνος ἑῷ μεγαλίζων,
ἀγγέλλων βασιλῆος ἐφετμὴν οὐρανίοιο·
υἱὸς ἐμοῖο, πατὴρ θεὸς ηὔδα πρός με, πέλεις σύ·
ἤματι προσφάτῳ αὐτὸς σ' εὐδοκίησα γενέσθαι.
λίσσεό μευ, λάχος ὄφρα λάβῃς σὺ διδόντος ἔθνη μου,
καί κε κατασχεσίην σοῦ πείρατα πάνθ' ὑπὸ μήνην·
σιδηρέῃ δ' ἐνὶ ῥάβδῳ τούσδε γε μηλοβοτήσεις,
καὶ κεραμῆος σκεύη ἠΰτε συντρίψας·
τῆμος δ' οἱ βασιλῆες ἐφημερίων συνίετε·
παιδεύθητε καὶ οἱ κρατέοντες ὑπ' οὐρανὸν* ἄκρης· υ
δείδιτε, δουλοσύνης δὲ κεράσατε χάρμασι δεῖμα·
καὶ οἱ ἀγάλλεσθε τῷ μερῇ φρενὶ τέρψιν ἑλόντες.
λάζεσθ' οὖν σοφίης, ἵνα μὴ χώσηται ὁ ἐσσήν,
εὐσεβέος δ' ἅμα πάντας ἀποῤῥαίσῃ κελεύθου.

εὖτε θεὸς φλογόεντα νόον βαρύθυμον ἐγείρῃ,
πάντες ἅμ' ὄλβιοί εἰσι πεποιθότες αἰὲν ἐπ' αὐτόν.

### Ψαλμὸς γ'.

Δαβίδου λυγρὸν τρίτατον μέλος, ἡνίκα φεύγων
υἱὸν Ἀβεσσαλόντιον, ἑὴν λίπε κοίρανος ἕδρην.

Δυσμενέες δὲ τοσοίδε περιπλήθουσιν ἐμοῖο,
πολλοὶ δ' ἐχθόμενοί μοι ἀνάρσιοι ἀντιφέρονται,
οὔτινά μοι ψυχῇ θεόθεν βάζοντες ἀρωγήν.
ἀλλ' ἐμέθεν βασιλεῦ σὺ διηνεκέως προμαχίζοις,
κῦδος ἐμὸν γεγονώς, κεφαλὴν ὑπὲρ αὐχένα τεύχων.
κικλήσκω βοόων, ὁ δ' ἀπ' οὔρεος ἔκλυεν ἁγνοῦ.
αὐτὸς ἐκοιμήθην, κατὰ δ' ἔσχε με νήδυμος ὕπνος,
αὖ δ' ἔστην ὅτ' ἐμῆς βασιλεὺς ἀντέξεται ἀλκῆς.
οὔποτε μυριάδας λαῶν πεφοβημένος εἴην,
αἵ κέ με κυκλώοντες ἐπιβείσωσιν ὁμαρτῇ.
ἔρχεο, καί με σάω πανυπέρτατε σῶτερ ἐμοῖο,
ὅττι σύ μευ σύμπαντας ἔλες κενεαύχενας ἐχθρούς·
αὐτὰρ ἁμαρτινόων ὀλοοὺς συνέαξας ὀδόντας.
σεῖο φάος βασιλεῦ σέο τ' εὐλογίην πόρε λαῷ.

### Ψαλμὸς δ'.

Τέτρατος ἐκ μελέων Δαβίδου ψαλμὸς ἐτύχθη.

Εὐδοκίης ἐμέθεν θεὸς ἔκλυεν εὐξαμένοιο·
στεινομένῳ δ' ἐπέκλυε, θεῶς δ' ἀπάλαλκεν ἀνίην·
ἵλαθι, καί μευ ἄναξ ἐπικέκλυθι εὐχωλάων.
ἀνέρες, ἐς δὲ πόσον τρέφετε βαρυτήμονα θυμόν,
ἐς δὲ φίλην ματίην, καὶ ψεύδεα πάντα δίζεσθε.
πῶς δ' ὅσιον φράζεσθε ἄναξ ὃν ἐφήνεν ἀγητόν·
αὐτὸς ἐπουράνιός μευ ἄναξ βοόωντος ἀκούσοι.

μούνοις ἀτασθαλίης περιφερεστέρη ὔμμι τετύχθω·
φράζεσθ' ἐν λεχέεσσι φίλου μελεδήματα θυμοῦ.
ἐλπὶς ὁμοῦ καὶ θῦμα δίκης βασιλῆα γεραίροι.
πολλοὶ φασὶ, τίς ἄμμι φερέσβιον ὄλβον ὀρέξει·
ἄμμι τε τέκμαρ τὸ χρύσεον σέο φέγγος ὀπωπῆς,
εὐφροσύνην κραδίῃ δωρήσαο πᾶσαν ἐμεῖο.
ἐκ σίτου γλυκεροῖο, καὶ ἐκ λαθικηδέος οἴνου,
ἔκτε φερεζώοιο βίης ἔπλησεν ἐλαίου·
εἰς ἓν ἐν εἰρήνῃ καταλέξομαι ὕπνον ἀμέλγων,
οὕνεκ' ἐπ' ἐλπωρῇ με μάκαρ καὶ μοῦνον ἐρείδεις.

## Ψαλμὸς ε.

Κλῆρον λαβούσης πέμπτον εἰς τέλος μέλος,
Δαβίδος ἠλάλαξεν εὐφήμῳ βοῇ.

Μύθων ἡμετέρων πανυπέρτατε κέκλυθι ποιμήν·
αὐδῆς μευ ξύνες ὦκα, ἐρίῳ δ' ἐπιδέρκεο φωνῆς·
αὐτὸς ἄναξ θεὸς, αὐτὸς ἐγὼ δέ σε λίσσομαι αἰεί.
ἡμετέρης ἠῶθεν ἄναξ ἐπακούσεται αὐδῆς·
ἐξ ἠοῦς δ' ἀναφανδὰ παρεσσομένῳ περιφαδνείης·
οὕνεκεν ἀμπλακίην ἐθέλων θεὸς οὔποτ' ἐτύχθης·
οὐδέ τις ἐνναέτης παρὰ σοὶ κακομήχανος ἔσται,
οὐδὲ τεῆς ἀθέμιστος ὁμέστιος ἔσσετ' ὀπωπῆς.
ἐργατίνας ἔστυξας ἀλιτροσύνης ἅμα πάντας·
γλώσσης ψευδαλέης ὀλετὴρ ἐν πᾶσιν ἐτύχθης·
ἐχθαίροι δολόεντα καὶ ἀνδροφόνον θεὸς ἄνδρα.
αὐτὰρ ἐγὼ σέο δῶμα τεῷ μετελεύσομαι οἴκτῳ,
δειμαλέος δὲ σέθεν καθαρὸν περιπτύξομαι ἱρόν.
σεῖο με ἡγήσαιτο δικαιοσύνη, χάριν ἐχθρῶν
ἡμετέρην ἴθυνον ἐπ' ὄμμασι σοῖσιν ἀταρπόν.
οὐ γὰρ ἀληθείην ποτ' ἐπὶ στόματος φορέουσι·

τῶν δὲ βαρύζηλοι κραδίαι γεγάασι μάταιαι·
λαυκανίη δ' οἰχθέντι τάφῳ παρομοίιός ἐστι,
καὶ γλώσσῃ δολεροῖσιν ἀεὶ μεμελήατο μύθοις.
κρῖνον ἄναξ· βουλέων δὲ κακῶν ἀπὸ πάγχυ πέσοιεν,
καί κε κατὰ πληθὺν σφετέρων χάειν ἀμπλακιάων
κτήσιος ἐξελάοιντο, τεὴν ἐρέθοντες ἐρωήν.
σοὶ μὲν ἐπευχόμενοι βασιλεῦ κεχαροίατο πάντες·
κεῖνοι μὲν κεχάροιντο, σὺ δ' οἰκήσειας ἐν αὐτοῖς.
οἱ δ' ἀγαπαζόμενοι τεὸν οὔνομα καυχήσονται,
ὅττι δικαιοσύνης ὑποφήτορα φῶτα γεραίρεις.
ἡμέας ἐστεφάνωσας ἅτ' εὐδοκίης κλυτὸν ὅπλον.

## Ψαλμὸς ϛ.

Ἕκτον ἄναξ μελέεσσι φίλοισι Δαβίδος ἄεισε,
μείλιχον ὀγδοάτης ἀμφὶ μέλος λιγυρόν.

ΜΗ με τεὸς βαρύμηνις ἀκήρατε θυμὸς ἐλέγξῃ,
μηδέ με παιδεύσειε τεὴ πολυώδυνος ὀργή·
ἀλλ' ὀλιγηπελίην βασιλεῦ ἐλέησον ἐμεῖο·
ἔσσο μοι ἰητήρ, ταράχου δέ μευ ὀστέα παῦσον,
καὶ ψυχήν, ἣ πολλὸν ἀτυζομένη δεδόνηται.
καὶ σὺ μάκαρ κοτέων ἕως πότε μῆνιν ἀέξεις.
λῦσον ἐμήν, μεταθεὶς περίτροπον κότον, ἦτορ ἀνάγκης,
ῥύσεο παμβασιλεῦ ἐλεητύος εἵνεκα σεῖο.
Οὐ γὰρ ἐπιμνήσαιτο σέθεν θανάτοιο πεδηθείς·
Τίς δέ τοι εἰν ἀΐδαο βοὴν εὔφημον ἀείσαι.
ἔμπα γε μὴν ἐμόγησα περὶ στοναχῇσιν ἐμῇσιν·
αἰεί μευ κατὰ νύκτα σαόφρονα λέκτρα λοέσσω,
δάκρυσιν ἡμετέροισιν ἐνηέα δέμνια τέγξω.
μῆνις ἐπιβρίσασα ἐμὴν κλονέεσκεν ὀπωπήν·
γηραλέος γενόμην μετὰ δυσμενέεσσιν ἐμοῖσιν.

ἐξαπίναι χάζεσθε ἀτασθαλίης ἀλεγεινῆς·
οὕνεκά μευ κλαυθμοῖο βοῆς ἐμὸς ἔκλυεν ἐστήν.
αὐδῆς ἡμετέρων θεὸς ἔκλυεν εὐχωλάων·
νωΐτερην ὑπέδεκτο θεὸς πανυπέρτατος εὐχήν.
αἶσχος δυσμενέεσσιν ἐμοῖς τάραχός τε πεπύσθω·
ὦκα μάλ' αἰσχυνοίντο μεταστρεφθέντες ὀπίσσω·

## Ψαλμὸς ζʹ.

Χουσὶ πάρος Δαβίδον ἐφύβρισεν, αὐτὰρ ὁ μεμφθεὶς,
ποιμένι ζαμενῆι φίλοις παρακάτθετο μύθοις·
ἔμπα γε μὴν βασιλῆος ὅδ' ἔπλετο ἕβδομος ὕμνος.

ΘΆρσυνος ἐπ' ἀρωγῇ βασιλεῦ σέο πάντοτ' ἐτύχθην·
ἐκ πάντων λίτομαί σε διωκόντων με σαώσοις·
μήποτ' ἐφαρπάξειε λέων ἐμὸν οἷά τις ἦτορ,
πάμπαν ἀπαλάλκοντος, καὶ ἀμύντορος οὐ παρεόντος.
ἀλλ' εἰ τοῖον ἔρεξα τόπερ σέο μῆνιν ἐγείρει,
ἔργμασιν εἰ στυγεροῖσι φέρω κατὰ χεῖρας ἀθέσμους,
εἴγε κακῶν ῥεκτῆρα κακῶς ἐπόρηξα καὶ αὐτός·
δυσμενέων ἀπόρηκτος ἐμῶν ἄπο πάγχυ πέσοιμι,
καί μευ ἕλοι ψυχὴν ἠόων κατὰ δήϊος ἀνήρ,
καί μευ ἐπιστείβοι βίοτον χθονὶ ποσσὶν ἑοῖσι,
καὶ κλέος ἀμφιβόητον ἐμὸν κονίῃσι μιήνοι.
ἀλλὰ κοτεσσάμενος βελαρῶν ἀνεγείρεο θώκων,
καί μευ ὀλλυμένων ἐπαείρεο πείρασιν ἐχθρῶν.
στῆσιν ἐφημοσύνῃσιν ἀνέγρεο κάρτος ὀπάζων,
πᾶσα δὲ κυκλώσειεν ὁμήγυρις ἀμφὶ σὲ λαῶν·
ἧς μάκαρ ἡγήσαιο μετήορος ὕψοσ' ἀρθείς.
αὐτὸς ἄναξ λαοῖσι δικασπόλος ἔσσεαι αἰεί.
εὐδικίης κατὰ θεσμὸν ἐμῆς βασιλεῦ με δικάζοις·

καὶ φρενὸς ἡμετέρης ἀγαθῆς ἐπιείκελα τεύχοις.
ἀμπλακίης τέλος ἔσται, ἐπιθύνοις δὲ δίκαιον.
νεφροὺς καὶ κρύφια κραδίης μυχὰ μοῦνος ἐλέγχοις.
ὡς ὁσίην μοι ἄναξ ἐπαρηγόνα χεῖρα φυλάσσῃς,
πάντοτε ῥυόμενος μερόπων ἰθύφρονα φῦλα.
αἰὲν ἄναξ ὅσιός τε θεμιστοπόλος τε περίφρων,
καὶ σθένεϊ κρατερὸς καὶ ἀνεξίκακον λάχε θυμόν.
οὐ δεδαὼς πρηχεῖαν ἑκάστοτε μῆνιν ἐγείρειν.
παύσασθε πρὶν ἄορ τανάον θήγοιτο φαεινόν,
καὶ τόξον τανύσειεν· ἑτοιμότατον γὰρ ἐτύχθη·
ὅπλα γὰρ οὐλομένου θανάτου τεκτῆνεν ἐπ' αὐτῷ.
τοῖσι δὲ καρφομένοις εἰργάσατο πικρὰ βέλεμνα.
δέρκεο νῦν ὠδῖνος ἑῆς ἀθέμιστον ἔργον·
κύσατο μὲν μόχθον, τέκε δ' ἀμπλακίην ἀλεγεινήν.
χάσμα μέγ' ἐξώρυξε, κακῇ δ' ἔσκαψε μενοινῇ·
αὐτὰρ ἐς ὅν περ ἔτευξε πέσοι κακοεργέα βόθρον·
καὶ κεφαλῆς οἱ ἄλγος ἐπιστρέψειεν ἑτοῖμον,
καί οἱ ὑπὲρ κορυφῆς ἐπιβήσεται ὕβρις ἀεικής.
εὐδικίης βασιλῆος ἐπάξιον αἶνον ἀείσω·
οὔνομα δ' ὑψίστου λιγυρῇ φόρμιγγι βοήσω.

## Ψαλμὸς η'.

Δαβίδου ληναῖος ὁ δ' ὄγδοος ὕμνος ἐτύχθη.

Ἄφθιτε νωϊτέρης βιοτῆς οἴηκα φυλάσσων,
ὡς ἄρα τοι θνητὸν ἐπὶ χθονὸς οὔνομ' ἐτύχθη.
καί τοι ἀειπρεπὲς εὖχος ὑπέδραμεν οὐρανὸν αὐτόν·
ἐκ στόματος βρεφέων ὅθεν ἤνυσας αἶνον ἑτοῖμον,
πευκεδανῶν ἄχεάν τε πάτερ σέθεν εἵνεκεν ἐχθρῶν,
ὄφρα κεν ἐχθρὸν ὁμοῦ καθέλοις, καὶ ἀμύντορα λύσσης.
ὄψομαι οὐρανὸν εὐρὺν ὃν ἥδρασε δάκτυλα σεῖο,

ἄστρα τε καὶ μήνην οἷς πυθμένα θήκαο χειρί.
τίς γὰρ ἔην ἄνθρωπος, ἐπεὶ μιμνήσκεαι αὐτοῦ·
ἢ παῖς ἀνθρώπου, ὅτι οἱ καὶ ἐπίσκοπος ἐσσί;
μείονά μιν ποίησας ἐπουρανίων στρατιάων·
ἀμφιπεριστέψας καὶ κύδεϊ καὶ γεράεσσιν·
ἔργα τεῶν ἔστησας ἐπιθύνειν παλαμάων.
πάντα δέ οἱ θαλεροῖσιν ἄναξ ὑπεθήκαο ποσσίν,
ἀγρονόμους τε βόας, καὶ εἰροπόκων γένος οἰῶν,
ὅσσα τε καρποτόκον πεδίον καταβόσκεται ἅμα,
αἰθέριά τε πετεινά, καὶ ἰχθυόεντα γένεθλα,
ὁππόσα ποντοπόρους παρεπιστείβουσι κελεύθους.
ἄφθιτε νωϊτέρης γενεῆς οἴηκα φυλάσσων,
ὡς ἄερά τοι θνητὸν ἐπὶ χθονὸς οὔνομ' ἐτύχθη.

## Ψαλμὸς θ'.

Δαβίδου κρυφίων, χάριν υἱέος ἄφθιτος ὕμνος.

Ἀλλήκτῳ κραδίῃ βασιλεῦ τεὸν αἶνον ἀείσω·
ἔργα σέθεν θνητὰ περιφραδέως ἀγορεύσω.
ἐν σοὶ εὐφροσύνην ἐρατὴν καὶ χάρμα πελάσσω.
οὔνομα δ' ὕψιστον κιθάρῃ σέθεν ὑμνοπολεύσω,
δυσμενέος κακότητι μεταστρεφθέντος ὀπίσσω.
αὐτὰ καταφθέροιντο τεῶν κεκμηότες ὄσσων.
οὕνεκά μευ κατὰ θεσμὸν ἐπίσσαο λωβητῆρας,
ἀρχὲ δικαιοσύνης βελαρῶν ὑπερέζεο θώκων.
ἔθνεσιν ἠπείλησας, ἄφαρ δ' ἐξέφθιτ' ἀλείτης·
οὔνομα δ' ἐν πάντεσσι διαμπερὲς ἠμάλδυνας.
ἔφθιτο δυσμενέος τεύχεα, πόλιας τ' ἀλάπαξας.
σὺν πολλῷ δ' ὁμάδῳ μνημήϊον ὤλετο πάντη·
αὐτὰρ ἐπουράνιος βασιλεὺς μάλα πάντοτε μίμνει.
εὐνομίῃ στήριξεν ἑὴν πανυπέρτατον ἕδρην·

ὄφρα διακρίνειε δίκῃ κλυτὰ πείρατα γαίης,
καὶ σφετέροις λαοῖσι δίκην ἰθεῖαν ὀρέξοι.
ἀθάνατος θεὸς ἐστὶ δύης ἀνάπαυμα πενιχρῷ,
ἐν δὲ βαρυφροσύναις ἐπιτάῤῥοθος ἄρμενος ἔστη.
ἐλπὶς ἔφυς πάντεσσιν, ὅσοι μάθον οὔνομα σεῖο·
οὕνεκεν οὐ παρελέλοιπας ἐελδομένοις σέο ποιμήν.
ἐνναέτην Σιῶνος ἀεὶ φορμίζετ᾽ ἄνακτα·
πρήξιας ἀθανάτου πυκινοῖς ἀγγείλατε δήμοις·
ὡς σφέων ἐμνήσθη φθιμένων διζήμενος αἷμα,
οὐδὲ βοῆς δειλῶν ἐπελήσετο πάγχυ πενιχρῶν.
ἀνδρομένην ἐλέησον ἐμὴν δηΐοις ἀπερύκων,
αὐτὸς ἀνυψώων με καὶ ἐκ θανάτοιο πυλάων,
πάντα πύλαις Σιῶνος ὅπως τεὸν αἶνον ἀείσω.
γηθήσω μάλα σῇσιν ἀλεξικάκοισιν ἀρωγαῖς·
ἔθνεα δυσφροσύνῃσιν ἐπεπρώθησαν ἑῇσιν·
ᾗ δὲ πάγῃ κρύπτεσκον, ἐνὶ ξυνεέργετο πέζα.
τεύχων εὐθυδίκης βασιλεὺς ἀρίδηλος ἐτύχθη·
ἀμφ᾽ ἔργοις παλάμης σφετέρης πεπέδηται ἀλιτρός.
εἰς ἀΐδην παλίνορσοι ἀποστρέψαντες ἀλεῖται,
ἔθνεα πάντα θεοῖο λελησμένα αἰὲν ἐόντος.
οὐ γὰρ ἄναξ πτωχοῖο διηνεκέως λελάθοιτο,
οὐδέποτ᾽ ἀδρανέων σταθερὴ παραμείβεται ἐλπίς.
ἔγρεο, μηδὲ βίῃ κρατέων ἄνθρωπος ἀνάσσοι·
φῦλα διακρίνοιτο τεῶν κατ᾽ ἐναντίον ὄσσων.
στῆσον ἄναξ ἀγαθὸν θεσμογράφον ἄνδρ᾽ ἐπ᾽ αὐτοῖς·
ἔθνεά τοι γνώτωσι βροτῆς ἴσωσαν ἐόντα.
τίπτ᾽ ἀπὸ δευομένων πανυπέρτατε τηλόθεν ἔστης,
πειρομένων ἐπίκουρον ἀπηώρησας ὀπωπήν;
πτωχὸς ὑπερβασίῃ φλέγεται κακοεργέος ἀνδρός.
βουλῇσιν φθινύθουσιν ἑαῖς ἀλιτήμονες ἄνδρες.

ἵμερον αὖ μάλα πάντες ἐπευφήμησαν ἀλιτροί,
καὶ μύθοις ἀθέμιστον ἀργοτέροις ἐνέπουσι.
θυμὸν ἀειζώοντος ἀτάσθαλος ὤρορ' ἄνακτος,
ἄπλετα λυσσάων οὐ δίζεται, οὐδ' ἐρεείνει,
οὐδὲ θεὸν βλεφάροισιν ὑπερφιάλοισι δοκεύει.
πάντοτε δ' ἀτραπιτοῖσιν ἀεξίστοισιν ὁδεύει.
ὀφθαλμοῖς σφετέροισι τεοὺς ἠρνήσατο θεσμούς.
ἄρξει δυσμενέων γεγαὼς κακοεργὸς ἁπάντων.
σκέψατο γὰρ πραπίδεσσι μένειν κακότητι πεποιθώς.
ῥιγίστοιο δόλου τε ἀρῆς στόμα τοῖο βέβυσται,
γλῶσσαν ἀεὶ δολόεσσαν ἔχει περίφορτον ἀνίης·
ἕζεται ὁρμαίνων λόχον ἀφνειοῖο θοώκοις,
βουλαῖς κρυπταδίῃσιν ἀναίτιον ἐξεναρίζων·
αἰεὶ δ' ὀφθαλμοῖς περιδέρκεται ἄνδρα πενιχρόν·
ὡς δ' ὀλοὸς ξυλόχοισι λέων κακὰ μήδεα πέμπει,
θᾶσσον ὅπως ἀγεινὸν ἐφαρπάσειε προΐκτην,
βουλῆς ἁρπαλέης ἵνα μιν μέλπηθρα τελέσσῃ,
ἐν δὲ λίνῳ δολόεντι κακὸν καὶ ἀγήνορα τεύξῃ.
ἀλλὰ πέσοι κεκυφὼς πρὶν ἄναξ κλήζοιτο πενιχρῶν.
εἶπε γὰρ ἀρχαίων ἀμνήμονα μῆτιν ἄνακτος,
καί οἱ ἀπεστράφθαι πανδερκέα πάμπαν ὀπωπήν.
ἔγρεό μοι βασιλεῦ, παλάμην δ' ὕψιστον ἄειρον,
μηδὲ βοῆς μογερῶν ἐπιλήθεο πάγχυ πενιχρῶν.
τίπτε κακορρέκτης ἐρέθει θεὸν αἰὲν ἐόντα.
εἶπε γὰρ ἐν στήθεσσιν ἑοῖς ὅτ' οὐκέτι δίζεται ἐσθήν.
εἰσορόας ὅτι μόχθον ὁμοῦ καὶ θυμὸν ἀέξεις,
ἰχανόων παλάμῃσιν ἑλεῖν ἀέκοντας ἀνάγκῃ.
μὴ γάρ σοι προλέλοιπεν ἄναξ ἀχήμονα φῶτα,
ἢ πάρος ὀρφανικῶν ἐπιτάρροθος αὐτὸς ἐτύχθης;
φωτὸς ἄναξ κρυεροῖο βραχίονα λεπτὰ κεάσσαις.

οὐδὲ τέλος κακίης γε τεῆς διζήμενος εὕροι.
ἀλλὰ θεὸς μετὰ πᾶσι διηνεκέως βασιλεύοι·
φῦλα κακοφροσύνης σφετέρης ἀπολοίατο γαίης.
ἀδρανέων θεὸς αὐτὸς ἐπεκρήηνεν ἐέλδωρ·
τῶν δέ γ' ἑτοιμότατον κραδίης πόθον οὔασιν ἔγνω·
ὄφρα κεν ὀρφανικοῖσι καὶ ἀκλεέεσσι δικάζοις,
ἀνθρώπων ἵνα μή τις ἔχῃ μεγαλαυχέα γῆρυν.

Ψαλμὸς ι΄.

Δαβίδου δέκατος πολυάρητος πέλει αἶνος.

Πῶς ἐρέει τις ἐμεῖο θεῷ τεθαρσέα θυμὸν,
στρουθὸν ὀρεσσιβότοισιν ὅπως θρώσκοντα νομῆσι.
τόξα κακοὶ τανύουσι, βέλεμνα δ' ἔθεντο φαρέτρῃ,
ἰθυνόοις ὀρφνῆθεν ὀϊστεῦσαι μεμαῶτες·
ἀφραδίῃ καθελόντες ἅπερ τεκτήναο ποιμήν.
ἀλλά τι τοῖον ἔρεξε θεῷ μεμελημένος ἀνήρ·
νηῷ παμβασιλεὺς πολυκυδήεντι ἀνάσσων,
οὐρανὸν ἀστερόεντα λαχὼν ὑψαύχενα θῶκον,
φῶτα μετ' ἀκτέανον πανεπίσκοπον ὄμμα τιταίνων·
καὶ βλεφάροις βροτέης γενεῆς διζήμενος ἔργα.
αὐτὸς ἄναξ ἀγαθόν τε καὶ οὐλοὸν ἄνδρα δικάζει.
ὃς δ' ἄδικον φιλέει, ψυχῆς ἔθεν ἐχθρὸς ἐτύχθη.
οὐρανόθεν χαλεποῖς λίνα φθισίμβροτα πέμπει·
πῦρ, θεῖόν τε ὁμοῦ, καὶ ἀμειδέος ἆσθμα θυέλλης,
σφωΐτερον πέλεται πολυτήμονος αἶσα κυπέλλου.
ὅττι δίκαιος ἄναξ, μάλα τ' εὐδικίην ἀγαπάζει.
καί οἱ ἀεὶ ἰθεῖαν ὁδὸν θηήσατ' ὀπωπή.

Ψαλμὸς ια΄.

Ἑνδέκατον Δαβίδος ἐς ὀγδοάτην ἔφατ' ἠῶ.

Μοῦνε σάω μ', ὅσιον γάρ θ' ἄδην ἔφθιτο φῦλον.
ἔργα δ' ἀληθείας μεροπηΐδος ὤλετο ῥίζης.

μύθοις μαψιδίοις ἑτάρον προσέειπεν ἕκαστος,
χείλεσιν ἐφθέγξαντο δόλους φρεσὶ μητιόωντες.
ἐξολέσοι θεὸς αἶψα δολόφρονα χείλεα πάντα,
καὶ μεγαλαυχέα γλῶσσαν ὑπερφιάλων ἀλεγεινῶν.
πάντας ὅσοι γλώσσῃσιν ἀνηέρθησαν ἑῇσι,
καί σφισιν ᾠΐσαντο φέρειν ἐπὶ χείλεσιν ἔργα,
τίς βροτὸς ἐξ ὑμέων βασιλεὺς ἄχραντος ἐτύχθη.
εἵνεκεν ἀκλεανῶν μογερῶν στοναχῆς τε πενιχρῶν,
αὐτὸς ἀναστήσεσθαι ἄναξ ἐπένευσε κραταιός,
θήσεσθαί τε φόως ἀναφανδά τε φέγγεϊ ῥέξαι.
μῦθοι θεσπέσιοι, μῦθοι γεγάασιν ἀτικλοι,
ἀργύρῳ ἰσόμοιροι φλογερῇ δμηθέντι καμίνῳ,
μοίραις πλειοτέραις κεκαρθαμένῳ ἔφθ' ὑπὲρ αἶσαν.
ἀλλ' ἡμέων ἐν πᾶσι φύλαξ φρουρός τε φανείης,
ἔνθεν ἄναξ καὶ μέχρις ἀπερμάντοιο βιώνης.
ἄστρασιν εὐκύκλοιο δόλου στείχουσιν ἀλεῖται,
ὡς ἀγαθὸς μερόπων γενεὰς ὥρῃσιν ἀέξεις.

Ψαλμὸς ιβʹ.

Δαβίδου κρατεροῖο δυωδέκατος πέλεν ὕμνος.

Τίπτε τόσον μεγαλωστὶ λελασμένος ἔπλευ ἐμεῖο.
μέχρι τίνος βασιλεῦ ἀποστρέψεις ὀπωπήν·
μέχρι τεῦ ἡμετέρῃ μενέα φρενὶ μέρμερα πέσσω,
ὠδίνων περιπίδεσσιν ὁμοῦ νύκτας τε καὶ ἦμαρ·
μέχρι τεῦ ἐχθρὸς ἐμεῖο καρήατος ὑψόθι τείρει.
ἀλλ' ἐπιδέρκεο θᾶσσον, ἐμῆς τ' ἐπικέκλυθι φωνῆς·
δὸς φάος, ὄφρ' ὕπνον περιφύγω θανάτοιο Ϛκῆα,
ὄφρα μὴ ἐχθρὸς ἐμὸς μέγ' ἐπεύξεται, ὥς με δαμάσσας·
αἴκεν ὀρινοίμην, κεχαροίατο δήιοι ἄνδρες·
αὐτὰρ ἐγὼν ἐλέῳ πίσυνος τεῷ ἐλπίδι χαίρω.

πάντοτε γηθήσαιμι μετὰ φρεσὶ σῇσιν ἀρωγαῖς.
εὐέρκτῃ βασιλῆϊ πολύλλιστον ὕμνον ἀείσω,
οὔνομα δ᾽ ὑψίστου λιγυροῖς μελέεσσιν ἰλώω.

## Ψαλμὸς ιγ´.

Δαβίδου ἀθενάρου τεισκαιδέκατος πέλει ὕμνος.

Οὐκ ἔστι θεὸν εἶπεν ἑοῖς ἐν στήθεσιν ἄφρων·
αἴσχεα τεκταίνων στυγερὸς καταφαίνεται ἔργοις.
ἐργατίνης οὐκ ἔστιν ἕως ἑνὸς εὐνομιάων.
ποιμὴν οὐρανόθεν βρότεον σκοπιάσσατο φῦλον,
ὀψόμενος τίς ἄνακτα θεὸν διζήμενος εἴη.
πάντες ἀποκλίναντες ὁμῇ δεδμήατο λώβῃ·
ἐργατίνης οὐκ ἔστιν ἕως ἑνὸς εὐνομιάων.
τῶν δ᾽ ἀγαθῶν ἀγνῶτες ἀεὶ συμφραδμονες ἄτης,
λαὸν ἐμὸν κατέδοντες, ὅπως εὐδηθέα σῖτον.
ἀφραδέως ἐλάθοντο θεὸν βασιλῆα λιτέσθαι·
δειμαίνεσκον ἄδην ὅτε δείματος οὐ χρέος ἦεν·
ὡς θεὸς ἐν μέσσῃσι δικαιοτάτῃσι γενέθλης.
ἀκλεαίνων μήμοι τὶς ἀτιμήσειε μερίμνας,
οὕνεκεν ἀθάνατος κείνων θεὸς ἐλπὶς ἐτύχθη.
τίς πόροι ἐκ Σιῶνος ἐπίρροθον Ἰσραήλου,
λαοῦ ὅταν στρέψειε θεὸς κατὰ δούλιον ἦμαρ,
τῆμος ἀγαλλέσθω περιώσιον Ἰσραῆλος.

## Ψαλμὸς ιδ´.

Δαβίδου πινυτοῦ δέκατος καὶ τέτρατος ὕμνος.

Τίς κλισίῃς ἄφθαρτε παραυλίσσοιτο τεῇσιν,
ἢ σέο ναιετάοι τίς ἐπ᾽ οὔρεος ἀχράντοιο.
εὐδικίῃ καὶ ἀκηρασίῃ μεμελημένος ἀνήρ,
στήθεσιν εὐαγέεσσιν ἀεὶ νημερτέα βάζων,

ἐκπάγλως δολερῆς στυγέων μεδήματα γλώττης·
ὅς κακὸν οὐ τέκτηνεν ἑῷ δ' ἔρραψεν ἑταίρῳ.
οὐδὲ κακοῖς νείκεσσιν ὀνειδείοισι θυραῖον.
μωμητὸν βασιλῆϊ κακορραφὲς ἔπλετο φῦλον.
τοὺς δ' ἄρα δειμαίνουσι θεὸς μέγα κῦδος ὀπάζοι.
ὃς δέ κέ που ὀμόσῃ καὶ ὅρκια πιστὰ φυλάξοι,
μηδὲ τόκον δυσάλυτον ἑαῖς παλάμῃσιν ἀγείρῃ,
μηδὲ δίκην βλάψειεν ἀναίτιον εἵνεκα δώροις·
οὔποτ' ὀρινθείη τρομέων βιότοιο θυέλλας.

## Ψαλμὸς ιε.

Δαβίδου χαρίεντος ἐπὶ στήλης ἐριτίμου,
πρὸς δεκάτῳ πέμπτον τοῦτο μέλος λιγυρόν.

Ἄφθιτε φρούρησόν με, ἐπεὶ σύ μευ ἐλπὶς ἐτύχθης.
εἶπα θεῷ βασιλῆϊ, σύ μευ θεὸς ἔπλεο μοῦνος.
οὐδὲ γὰρ ἡμετέρων ἀγαθῶν ἐπιδεύεαι αὐτός.
θνητὴν ὁσίων χθονίοις ἀνέφηνε γενέθλην·
παρθέμενος πινυτῆς τε μετὰ σφίσι μήδεα θυμοῦ.
ἀδρανίαι πλήθουσι καὶ ἐν σφίσιν εἰσὶ ταχεῖαι.
ἀνδρῶν δυσσεβέων ταχιναὶ βεβρίθασι νοῦσοι.
νόσφι φόνων ἀδίκων, κλισίας σφέων ἐς ἓν ἀγείρων
οὔνομά τ' ἐκ πραπίδων οὐ χείλεσι μνήσομαι αὐτῶν·
αὐτὸς ἄναξ κλῆρος καὶ ἐμεῦ πέλει αἶσα κυπέλλου.
αὐτὸς ἐμοὶ βασιλεῦ ζωαρκέα κλῆρον ὀπάζων.
σχοῖνοί μοι κρατεροῖσιν ἐφορμήθησαν ἐπ' ἔργοις.
καὶ γὰρ κλῆρος ἐμὸς κρατερὸς καὶ πιστὸς ἐτύχθη.
μήπως αἰνήσω πινυτῆς βασιλῆα δοτῆρα,
παννύχιος νεφροῖσιν ἐφ' ἡμετέροις ἐδαμάσθην.
αἰὲν ἀλεξητῆρα θεὸν ποτιόσσομαι ἄντην,
δεξιτερῆς παράροιθεν ἐμεῦ πέλει, ὥς κέ μ' ἐρείδοι.

τοὔνεκεν ἰάνθη κραδίη γήθησέ τε γλῶσσα·
εὖ δέ μευ ἀμπαύσει τὸ φίλον δέμας ἐλπίδι χαῖρον·
οὕνεκεν οὐ ψυχὴν ἀΐδῃ λείψειας ἐμοῖο·
οὐδ' ὅσιον φθαρτοῖς ἀναρίθμιον ἀνδράσι θήσεις.
εὐαγέος σήμηνας ἐμοὶ βιότοιο κελεύθους·
εὐφροσύνης με μάκαρ πλῆσον μετὰ σεῖο προσώπου·
δεξιτερῇ σέο, τέρψις ἀειζώουσα τετύχθω.

## Ψαλμὸς ιϛ΄.

Εὐχὴ Δαβίδου ἑκκαιδέκατος πέλει ὕμνος.

Κλῦθί μευ εὐδικίης πανυπέρτατε δῶτορ ἐάων,
ἱκεσίῃσί τε ὄμμα μάκαρ τανύσειας ἐμῇσι·
κέκλυθι τοιπέρης δολεροῖς οὐ χείλεσιν εὐχῆς.
ἐκ σέθεν εὐθέσμοιο δίκης τέλος ἄμμι φανείη.
ὄμματά μευ δέρκοιντο τεὴν ἰθεῖαν ἀταρπόν.
ἔγνως μευ κραδίην, δεδαὼς δὲ ἐσκέψαο νυκτός·
καί με διοπτεύων καθαρὸν πυρὶ πολλὸν ἐφεῦρες·
ἔργοις ἀνδρομέοις ἵνα μὴ στόμα πάγχυ μιήνω,
σῶν χάριν ἀτρέπτοις ἐπέων ἐφύλαξα κελεύθοις.
ἴχνεσι σοῖς ἀγαθοῖς τὸ ἐμὸν φίλον ἴχνος ἐρείδοις,
ὄφρα κε ῥιζωθέντες ἐμοὶ πόδες ἀτρεμέοιεν.
αὐτὸς ἄναξ ἐβόησα φίλης δέ μευ ἔκλυες αὐδῆς.
κλῖνον ἐμοὶ τεὸν οὖας, ἐμῶν δὲ ἐπικέκλυθι μύθων.
θαυμαστὴν ἀνάφαινε τεὴν οἰκτίρμονα βουλήν,
ῥυόμενος σύμπαντας ἐπελπομένους σέθεν ἀλκῇ.
ἐκ τῶν, οἳ μεμάασιν ἐριδαινέμεν σεῖο χερί,
οἷά περ ὀφθαλμοῖο μάκαρ γλήνην με φυλάσσοις.
σεῖο πολυζήλων σκέπαι πτερύγων με πυκάζοις,
ἐξ ἀνδρῶν ἀνόμων, οἵ μοι κακότητα τέλεσσαν.
ἐχθροὶ θυμὸν ἐμοῖο περισχόωντες ἔρυκον,

ἀπρήκτοιο κόρου σφετέρην συνέεργον ἀοιδήν.
ᾧ στόματι κρυόεσσαν ὑπέρβασίην κατέλεξαν.
οἵ με ποτ᾽ ἐξελάοντες, ἐκυκλώσαντο μολόντες·
ἐν γαίῃ κατέπηξαν ἐπικλίναντες ὀπωπήν.
ὡς δὲ λέων μεθέπεσκον ἑτοιμοτάτην ἐπὶ θήρην,
εἰσάμενοι σκύμνῳ σκόπιον λόχον ἀμφιέποντι.
ἔγρεο, καὶ φθάμενος χθονὶ κάββαλε γούνατα λύσας·
δυσσεβέος μάλα θυμὸν ἀφαρπάξειας ἐμεῖο·
φάσγανον ἀμφήκες δηΐων ἐξαίνυσο χειρός.
ἐξ ὀλίγων με σάω, καὶ ἀπὸ χθονὸς ἄφθιτε ποιμήν,
δυσσάμενος σκεδάσειας ἔτι ζωοὺς διὰ γαίης.
τῶν κρυφίων ἔπλησαν ἑὴν πολυχανδέα νηδύν·
πληθέντες σιάλων, λίπον υἱάσι λείψανα δαιτός.
αὐτὰρ ἐγὼ βασιλῆϊ μετ᾽ εὐδικίης προφανεῖσαν,
ἄρκιον ἐς κόρον ἄμμι φανὲν σέο κῦδος ἐτύχθη.

## Ψαλμὸς ιζ.

Δαβίδου θεράποντος ἐπουρανίου βασιλῆος
τοῦτο μεγασθενέος βιοτῆς τέλος ὡς πρὶν ἔειπεν·
ὁππότε δυσμενέων μὲν ἄναξ ἀπελύσατο πάντων,
Σαοὺλ δ᾽ ὀλοοῖο λιλαιομένου μιν ὀλέσσαι,
ἔφθ᾽ ἅμα καὶ δέκατον προσφθέγξατο τὸν ἱερὸν μῦθον.

Κάρτος ἐμὸν, σὲ γὰρ οἶον ἀεὶ θεὸν ἀμφαγαπάζω·
αὐτὸς ἔρεισμα σὺ ἄλκαρ ἐμὸν σὺ ἀρωγὸς ἐτύχθης.
ἐλπὶς ἐμὴ τελέθεις, καὶ ἐμῶν ἐπιτάρροθος ἔργων,
ἄρρηκτον βιότοιο κέρας καὶ ὑπέρμαχος ἀλκή.
ὑμνείων σε λιταῖς, δηΐων ἀπὸ χεῖρας ἀλύξω.
ὠδῖνες θανάτοιο περιστιχόωντο βαρεῖαι·
χείμαρροί τ᾽ ὀρόθυνον ἀμήχανοι ἀμπλακιάων.
Ταρταρείων μ᾽ ὠδῖνες ἐκυκλώσαντο βερέθρων

πλεκ.

πλεκτὰ δέ με περιῦπεμψε τανηλεγέος λίνα πότμου.
αὐτὰρ ἐγὼ κίκλησκον ἐπειγόμενος θεὸν ἄτῃ,
οὐρανόθεν βασιλῆος ἀρηγόνα χεῖρα βοήσας.
εὐαγέος καλέοντος ἐμὸν θρόον ἔκλυε νηοῦ,
φθόγγος ἐμὸς δύνεσκεν εἰς οὔατα πιστὰ θεοῖο.
χθὼν βεβαρὴ δεδόνητο, τρόμος δέ μιν εἵλετο πᾶσαν·
ἔκποθεν ἠλιβάτων ὀρέων πεπάρακτο θέμεθλα,
θεσπέσιον τρομέοντα χόλον καὶ μῆνιν ἄνακτος.
ἀθανάτου κοτέοντος ἀπείριτος ὄρνυτο καπνὸς,
καὶ πυρὶ λαμπόμενον μάκαρος σθένος ὦρτο προσώπου,
ἄνθρακες ἐξ αὐτοῖο πυριφλεγέθοντες ἀνῆφθεν.
οὐρανόθεν κατέπαλτο πόλον φλογοειδέα κλίνας·
ἀθανάτου πεφόρητο γνόφος παρὰ ποσσὶ θεοῖο·
ἐμβεβαὼς ὀχέεσσιν ἑοῖς πεπότητο χερουβίμ·
ἵπτατο βυκτάων ἀνέμων πτερύγεσσιν ἀερθεὶς,
κευθόμενος νεφέεσσι· τὸ γὰρ ἤθελεν ἦμαρ ἐλέσθαι.
ἀμφὶ ἑὲ κυκλώουσαν ἀγακλέα θῆκε καλύπτρην,
οἷά περ αἰθερίης νεφέλης κεκρυμμένον ὕδωρ·
ὥρμηθεν νεφέλαι σφετέρων ὑπὸ μαρμαρυγάων·
ἄνθρακες ὀρνυμένοιο πυρὸς μίγνυντο χαλάζῃ.
τῆμος ἐβρόντησεν καὶ ἀπ' οὐρανόθεν θεὸς αὐτὸς·
ἀθανάτη δ' ὕψιστος ἀπ' αἰθέρος ἴαχεν αὐδή·
θεσπεσίοις ἐκέδασσεν ἐπιπροχόωσιν ὀϊστοῖς·
πάντες ἄμ' ὠρίνθησαν ὑπ' ἀστεροπῆσι ταμείαις·
ὑδροτόκοι δ' ἀνέτελλον ἀκηράσιοι τότε πηγαὶ,
καὶ πάσης ἐρίβωλα θεμείλια φαίνετο γαίης.
ἄφθιτε· σὴν γὰρ ἅπαντα περιτρομέεσκεν ὁμοκλήν·
πνεύματος ἐπτοίηντο τεοῦ τόσον ἄσθμα καὶ ὀργήν.
οὐρανόθεν προέηκε, θοῶς δέ με ῥύσατ' ἀνάγκης.
ἐκ δὲ πολυσμαράγων με θοῶς προσδέδεκτο ῥεέθρων·

ῥύσεταί ἐκ δηΐων μ', ὅσιν περιώσιος ἀλκή,
ἀνδρῶν τ' ἐχθομένων, ὅτι φέρτεροί εἰσιν ἐμεῖο·
ἠπεδανῷ προύτυψαν ἐν ἤματι θωρηχθέντες,
καί μευ ἄναξ προμάχιζεν, ἐπεσήλεξε δὲ ζωὴν·
θαρσαλέον δ' ἔστησεν ἐπ' εὐρυχόροισιν ἀταρποῖς.
ῥύσεταί ἐκ δηΐων με, ἀτὰρ συγέοντας ἐλέγξει.
μισθὸν ἐπ' εὐδικίῃ καὶ ἐπάξιον εὖχος ὀπάζοι,
ἡμετέρων τόδε κέρδος ἀκηρασίης παλαμάων.
οὕνεκεν ἀθανάτοιο φίλας ἐφύλαξα κελεύθους·
οὐδὲ νόῳ φρασάμην ἕτερον θεόν· οὐδὲ γὰρ ἦεν·
οὕνεκά οἱ ζωοὺς ὁρόω φρεσὶ πάντοτε θεσμούς,
οὐδέ οἱ ἀχράντων φυλακὴν λίπον εὐνομιάων·
καί οἱ ἀμωμήτοισι παρέσσομαι ἴχνεσιν αἰεί·
ἀμπλακίης ἀπάνευθε νόον βασιλῆϊ φυλάξω.
μισθὸν ἐπ' εὐδικίῃ τε ἐπάξιον εὖχος ὀπάζοι
ἡμετέρων δέρκοιτο ἀκηρασίην παλαμάων.
σὺν ὁσίων ξυνέεθλος ἔῃς, ὅσιός κε γένοιο,
καί κε νόῳ ξυνέοντι μάθοις παρ' ἀθῷον ἀθῷος·
ἐσθλῷ αἰνέει πάντα μεμιγμένος ἐσθλὰ ἀκούσαις·
οὐδὲ πάλιν σκολιῷ παρεὼν βροτῷ εὔστροφος εἴης.
αὐτὸς λαὸν ἀεὶ χθαμαλόφρονα ῥύσεαι ἄτης.
ὀφθαλμὸν δ' ἀκόρητον ὑπερφιάλων ἀλαώσας.
αὐτὸς λύχνον ἐμὸν πολυφεγγέα πάντοτε τεύξοις·
ἄμμι διασκάψοι δνοφερὸν κνέφας ἐκ σέθεν αἴγλη.
νεύματι σῷ προφύγοιμι κακῶν πολυπήμονα πεῖρην·
πύργον ὑπερβαίην πίσυνος θεῷ αἰὲν ἐόντι.
ἀθανάτου βασιλῆος ἀκήρατοί εἰσι κέλευθοι·
καὶ μῦθοι πυρόεντες ἀναζείουσιν ἄνακτος.
τῶν δ' ὑπεραθλεύησιν, ὅσοις πέλει ἐλπὶς ἐπ' αὐτῷ.
τίς μάκαρ ἀθάνατος, πλὴν ἀθανάτου βασιλῆος,

ἠὲ τίς ἡμετέροιο θεοῦ θεὸς ἐκτὸς ἐτύχθη.
ἀμφιβαλών μ' ἔζωσε θεὸς περιώσιον ἀλκήν·
θήκατο δ' ἡμετέρην καθαρὴν καὶ ἄμωμον ἀταρπόν,
τεύχων ὠκυπόδεσσι πόδας κεμάδεσσιν ὁμοίους,
αὐτὰρ ἐφ' ὑψίστοισιν ἐμὸν φίλον ἴχνος ἐρείδων,
χεῖρας ἐμὰς βριαρὰς τε μενεπτολέμους τε διδάσκων,
πάγχαλκειον ἔτευξε βραχίονας ἠύτε τόξον.
καί με πόρες μερόπεσσι φόως δηκτῆρά τ' ἀνάγκης,
καὶ σέο δεξιτερὴ πρόμος ἔπλετο πάντοθ' ἐμεῖο.
σεῖο μάκαρ σοφίῃ κραδίην ἰθύνομαι αἰεί·
πάντοτε κυδιάνειρα τεὴ σοφίη με διδάσκει.
ἔμπεδον ἴχνος ἔχω, σὺ δ' ἐμὰς εὔρυνας ἀταρπούς·
οὔ τις ἐλαυνόμενόν με δρόμῳ παρελεύσεται ἐχθρῶν.
οὐδὲ βίης λήξαιμι, πάρος λήξοισι δαμέντες·
οὐδὲ πιεζομένοις στερεὸν σφίσιν ἴσχεται ἴχνος,
ἀλλὰ ποσὶ δμηθέντες ὑφ' ἡμετέροισι πέσοιεν.
ἠνορέῃ με κόρυσσας ἀεισοπόνῳ κατὰ δῆριν,
ἀντιβίους ξυνέδησας ἐμῶν ὑπένερθε πεδίλων.
δυσμενέες πεφόβηντο φυγῇ μετὰ νῶτα βαλόντες,
αὐτὰρ ἀπεχθαίροντας ἀεικέϊ πέφνες ὀλέθρῳ.
αὐτοὶ μὲν βοάασκον, ὁ δ' οὐ σφίσιν ἦεν ἀμύντωρ.
ἀθάνατον καλέεσκον, ὁ δ' οὐκ ἀΐεσκε λιτάων·
τοὺς διαλικμήσαιμι ἅτε χνόον ὄντα θυέλλης,
πηλὸν ὅπως πεζῇσιν ἐπιστείψαιμι κελεύθοις·
δημοτέρων ἔριδός με διχοστασίης τε σαώσῃς,
καί με κατεστήσας ἄνακτα κοσμήτορα λαῶν.
λαὸς ὃν ἀγνώσσω, θέτο μὲν ζυγῷ αὐχένα δοῦλον·
οὔασιν ἡμετέρην ταχυπειθέσι δέξατο φωνήν.
ἀλλοδαποὶ γεγαῶτες ἐπεψεύσαντό με παῖδες,
μαψιδίως μετὰ γῆρας ἔβαν ἀλλότριοι ἦες,

πάντοτε χωλεύοντες ἑῶν ἀπάνευθε κελεύθων.
ζώει ἐμοὶ βασιλεύς, καὶ ἀεὶ πολύαινος ἐτύχθη·
ἡμετέρου βιότοιο θεὸς πανυπέρτατος εἴη.
ἔκδικος αἰὲν ὁμῶς γεγαὼς δηΐοις κεραΐζοι
ἡμετέρῳ δαμάσαις θεοτερπέϊ κάρτεϊ λαόν.
χωομένων κακότητος ὕπ' ἀντιβίων με φυλάσσοι·
ἀλλ' ἐπαειρομένων βασιλεῦ πολὺ φέρτερος εἴην·
ἀνέρος ἐξ ὀλοοῖο κακορραφίης με σαώσοις.
τοὔνεκα σὴν ἀναφανδὰ διίξομαι ἔθνεσιν οἴμην·
οὔνομα δ' ὕψιστον κιθάρῃ σέθεν ὑμνοπολεύσω·
οὕνεκα φέγγος ἄειρας ἀλεξίκακον βασιλῆος·
ἀθανάτην δ' ἐλεημοσύνην πεκτήναο χριστῷ
Δαβίδῃ, καὶ τοῖο διηνεκέεσσι γενέθλαις.

## Ψαλμὸς ιη'.

Ὀκτωκαιδέκατος Δαβίδου ψαλμὸς ἐτύχθη.

Οὐρανοὶ ἄφθιτον εὖχος ἀπαγγέλλουσι θεοῖο,
χειρῶν δ' ἀθανάτων ἔδος οὐρανοῦ ἔργα λιγαίνει.
ἤματι ἱμήεντα λόγον προσερεύξατο ἦμαρ,
καὶ νὺξ ἀμβροσίην σοφίην ὑπεθήκατο νυκτί.
οὐ θρόος ἀλλόγλωσσος ἔην πολύς, οὐδέ τι μῦθοι,
ὧν αὐδῆς λελάθοντο καὶ οὐκ ἀΐοιεν ἁπάντων·
σφωΐτερος μὴν φθόγγος ὅλην μετενίσσετο γαῖαν,
καὶ μῦθοι πεπότηντο διὰ κλυτὰ πείρατα γαίης.
σκηνὴν ἠελίῳ παρεθήκατο ἱμήεσσαν·
λαμπόμενος δ' αὐτὸς θαλάμων ἄπο νυμφίος ὦρτο·
εἴκελα γηθήσας δρόμον τελέοντι γίγαντι·
οὐρανίης ἑτέρωθεν ἰὼν περιελεύσεται ἄκρης·
οὐδ' ἔστ' ὅς κε φύγῃ φλογερὴν ἀκτῖνα φανεῖσαν.
θεσμὸς ἀκηράσιος ψυχοστρόφος ἐστὶν ἄνακτος,

πιστὴ μαρτυρίη, σοφίην βρεφέεσσι φυτεύει.
εὐφροσύνην κραδίῃσι δίκαι τεύχουσι θεοῖο.
ἐννεσίη στίλβουσα καὶ ὄμμασι φέγγος ἀέξει.
θεῖον ἀεὶ καθαρόν τε καὶ ἔμπεδον ἔπλετο δεῖμα·
ἔργων εὐδικίας παναληθέας αἰὲν ἄνακτος,
χρυσοῦ καὶ ψηφῖδος ἀρειοτέρας ἐριτίμου,
καὶ πολὺ τερπνοτέρας μελικηρίδος ἱμεροέσσης.
ταῦτα πρὸς θεράπων κεχρημένος οἶδε φυλάσσειν,
μισθὸν ἔχων φυλακῆς ἀγαθῶν τελειώσιον ἔργων·
τίς κεν ἀναγνοίη πληθὺν βροτὸς ἀμπλακιάων.
αἰὲν ἄναξ κρυφίων με κακῶν ἀπάνευθεν ἐρύκοις·
μηδέ μοι ἀλλοτρείων κτεάνων φρεσὶν ἵμερος εἴη.
εἰ μή μευ κρατέοιεν, ἀμώμητός κε γενοίμην,
νοσφάμενος κακότητος ἀτασθαλίης τ' ἀλεγεινῆς.
μῦθοι δ' εὐδοκίῃ μεμελημένοι ἰθύνοιντο.
καί σευ ἐμῆς κραδίης μελέτη κατεναντίον ὄσσων·
αἰὲν ἀλεξητὴρ καὶ ἐπίρροθος ἔπλευ ἐμεῖο.

## Ψαλμὸς ιθ'.

Ἐννεακαιδέκατος Δαβίδου ψαλμὸς ἐτύχθη.

Εὐξαμένῳ θεὸς ἦμαρ ἀλεξήσειεν ἀνάγκης,
καί σευ Ἰακώβου πρόμαχος θεὸς ἄφθιτος εἴη.
ἐξ ἁγίου χατέοντι φίλην ὀπάσειεν ἀρωγήν·
ἐκ δ' ἱερᾶς Σιῶνος ἀλεξίκακος πέλας ἔλθοι.
αὐτὸς παντοίης σεῦ ἐπεμνήσαιτο θυηλῆς,
καὶ σεῖο καρφαλέην θυσίαν πλήσειεν ἀλοιφῆς.
πάντα τοι ἀθάνατος κραδίῃ μεμελημένα ῥέζοι,
πᾶσαν ἀναπλήσειε τεὴν θεοπρεπέα βουλήν.
σεῖο φερεζώου κραδίην κεχαρησόμεθ' ἀλκῇ·
ἀθανάτῳ πίσυνοι μεγαλαυχέες ἐσσόμεθ' αἰεί.

πάντα τεῶν πλήσειεν ἐναίσιμα δῶρα λιτάων·
νῦν ἐδάην ὡς χριστὸν ἑὸν θεὸς ἐξεσάωσεν·
καί οἱ ἀπ' οὐρανόθεν μεμαὼς καλέοντος ἀκούσει.
κλεινὸν δεξιτερῆς σφετέρης περὶ κάρτεϊ φέγγος.
οἱ δὲ μὲν οὖν ἵπποισι καὶ ἅρμασιν ἐμβεβαῶτες,
ἡμεῖς δ' ἀθανάτῳ πίσυνοι μεγαλιζόμεθ' αἰεί·
οἱ δὲ πόδας πεπέδηντο, λάθον δ' ἔκπαγλα πεσόντες·
ἡμῖν δ' ἐγρομένοις ἰθύνετο πάντα κατ' αἶσαν.
ἄφθιτε καρτερόθυμον ἀεὶ βασιλῆα σαώσοις,
εἰσαΐοις δ' ὅτε δή σε λιταζόμενοι καλέσαιμεν.

## Ψαλμὸς κ΄.

Δαβίδου κλυτὸς οὗτος ἐεικοστὸς πέλει ὕμνος.

Αἰὲν ἄναξ, ἄχραντε, τεῷ περὶ κάρτεϊ χαίροι,
καὶ σέο γηθήσειεν ἀεὶ κατὰ θυμὸν ἀρωγῇ.
οὕνεκά οἱ ψυχῆς κεχαρισμένον ἦδος ἔδωκας,
εὐχωλὴν δ' ἐτέλεσσας, ἄλις δ' ἕλε χείλεσι καρπόν.
μειλιχίης προὔτυψας ἐπ' εὐλογίης μὲν ἰαίνων·
στέμμα λίθων γεραρῶν κεφαλὴν ἐστέψαο τοῖο.
ῥηΐστην βιοτὴν διζημένῳ ἐγγυάλιξας,
ἤμασι μηκεδανοῖσι διηνεκέως βίον ἕλκειν.
κῦδος ἔχει περίπυστον ἀλεξικάκῳ σέθεν ἀλκῇ·
καί οἱ ὑπερτερίην, καί τι πλέον εὖχος ὀρέξοις.
πάντοτ' ἀτέρμαντον καὶ ἀγήραον ὄλβον ὀπάζοις.
χάρματι δ' εὐφραίνοιτο τεῷ μάκαρ ἀμφὶ προσώπῳ.
ἐλπωρὴν ἀνέθηκε θεῷ γεραρώτερος ἐστὶν,
ὑψίστου δ' ἐλέῳ πολυθαρσέας ἤρεισε πέζας.
ἀντιβίοις ἅμα πᾶσι τεὴν ἐπὶ χεῖρα κορύσσοις,
δεξιτερὴ σέο πάντας ἀπεχθαίροντας ἐφεύροι.
σεῖο καταφλεχθεῖεν ὑπ' ὄμμασιν ἶσα καμίνῳ·

ὧν δέ γε τῷ πυρόεντι κότῳ σύμπαντας ἀτύζοις,
καὶ σφέας ὀλλυμένους δηλήσεται ἀκαμάτη φλόξ.
πάντα μάλ' ἐξολέσειας ἑῆς ἀπὸ καρπὸν ἀρούρης,
καὶ σπόρον αἰνοτόκον μεροπηΐδος ἔκτοθι φύτλης·
οὕνεκά σοι βείσαντες ἐπ' ἄλγεα μυρία θέντο.
ἀσταθὲς ἐν στέρνοισιν ἐπεφράσαντο νόημα.
αἰπηβίων τρέψειας ἐπεσχία νῶτον ἀκωκῆς,
εἴκελον ὧν μεθέηκας ἑὴν τελέσειας ὀπωπήν.
ἀλλ' ἐπιταρσήσας σθένεϊ μεγαλίζεο ποιμήν·
αὐτὰρ ἐγὼ σέο κάρτος ἀοίδιμον ὑμνοπολεύσω.

Ψαλμὸς κα'.

Πρῶτον Δαβίδος καὶ ἐεικοσὸν μέλος,
ἦσεν δ' ἑῷας ἀντιλήψεως ὕπερ.

ΔΕρκεο ἐπ' ἐμὲ μάκαρ με, μάκαρ, κατὰ πάμπαν ἔλιπες·
τῆλε μεῦ ἀμπλακίης ἔπεα ζωῆς ἀπερύκοις.
πρὸς σὲ μάκαρ βοάασκον, ἐμὴν δ' οὐκ ἔσσεαι αὐδήν·
οὐδὲ μάλ' ἠγνοίησα τεὸν νόον ἐν φρεσὶ νυκτός·
ἐν δ' ἁγίῳ ναίεις κλέος ἄσπετον Ἰσραήλου.
ἡμετέρων πατέρων ἀειδείκετος ἐλπὶς ἐτύχθης,
καὶ σφέας ἐλπομένους στυγερῶν ἐρρύσαο μόχθων.
πρὸς σὲ μάκαρ βοάασκον, ἑῆς δὲ σάωθεν ἀνάγκης,
οὐδέ σευ ἀθανάτης ἀντ' ἐλπίδος αἶσχος ἐφεῦρον.
αὐτὰρ ἐγὼ σκώληξ τε καὶ οὐκ ἄνθρωπος ἐτύχθην,
μῶμος ἐν ἀνθρώποισι, λαῷ δ' ἀποφώλιος ὕβρις.
πανσυδίῃ μ' ἐπέμυξαν, ὅσοι πάρος ἔδρακον ὄσσοις,
χείλεσιν ἐφθέγξαντο, κάρη δ' ὑπέροπλον ἔσεισαν.
εἰς θεὸν ἐλπωρὴν ἔλαχεν, ῥύσαιτό μιν ἄτης·
ἁρπάζοι κακότητος, εἴ οἱ καταθύμιός ἐστιν.
πυκνογόνου κευθμῶνος ἄναξ σύ με λύσαο γαστρός·

ἐλπίδα κικλήσκω σε καὶ ἐν μαζοῖσι τεκούσης·
σοὶ πίσυνος γενόμην μυχὰ νηδύος εἰσέτι ναίων.
αὐτὸς ἐμὸς θεός ἐσσι φίλης ἐν γαστέρι μητρός.
μή μευ ἀποσταίης, ὅτι μοι πέλας ἦμαρ ἀνάγκης,
οὐ δ' ἐπιδευομένῳ μοι ἐπίρροθος ἄλλος ἐτύχθη.
πολλοὶ μὲν κερόεντες ἐκυκλώσαντό με μόσχοι,
ζατρεφέες δ' ἐπὶ τοῖσι περιστιχόωντό με ταῦροι.
ἀμφί μοι ὡρμήθησαν ἑὸν στόμα δεινὰ χανόντες,
οἷα λέων ὀλοὸς βρυχώμενος ἅρπαγι θυμῷ.
ὡς δ' ὕδωρ προχυθὲν κεκέδαστό μευ ὀστέα πάντα·
κηρὸς ὅπως κραδίη κατετήκετο γαστέρι μέσσῃ·
τέρσετο ἠπεδανῷ πανομοίιος ὀστράκῳ ἀλκή·
λαλὶς ἐμεῖο λάρυγγι ἐμεῦ νυ κεκόλληται ἐαστήν,
ἐς δὲ τέλος θανάτου με καθελκύσαντες ἔθεντο·
ἑσμὸς ἀπειρέσιός με κυνῶν κυκλώσατο ὄσσοις·
καί με περίσχε κλισίη κακοεργὸς ἀλιτρῶν.
ἡμετέροις ὤρυξαν ὁμοῦ χεῖρας τε πόδας τε·
ὀστέα δ' ὀφθαλμοῖσιν ἀπηρίθμησαν ἅπαντα·
καί με διοπτεύσαντες ἀκηδέα κάλλιπον αὔτως·
ἄπλετα λυσσώοντες ἐμοὺς δάσσαντο χιτῶνας,
καὶ κλήροις πεπάλαχθεν, ὅτι κ' ἐμὰ πέπλα κομίσσοι.
ἀλλ' ἐμέθεν μὴ νόσφιν ἀποπλάζειας ἀρωγήν·
ἡμέτερον ξίφεος τανυηκέος ἅρπασον ἦτορ·
ῥύσεο μουνογένειαν ἐμὴν κυνὸς ὑβριστῆρος.
ἐκ με σάω βασιλῆος στόματος βλοσυροῖο λέοντος·
ἐξ ὀλοῶν κεράων ῥύσαιό με μουνοκερήων.
σὸν δ' ὄνομ' ἀγγείλαιμι κασιγνήτοισιν ἐμοῖσι,
καί σε μέσον κλισίης θεοτερπέος ὑμνοπολεύσω.
αἶνον ἀεισάντων ὁπόσσοι φειάσουσιν ἄνακτα·
σπέρμα δ' Ἰακώβοιο θεὸν βασιλῆα γεραίροι,

καί μιν ὑποδδείσειεν ἅπας σπόρος Ἰσραήλου.
οὐ γὰρ ὀνοσσάμενος πτωχοῦ πάρος ἔστυγεν εὐχήν,
οὐδ᾽ ἀπ᾽ ἐμεῦ ἔστρεψεν ἑὴν χαρίεσσαν ὀπωπήν·
ἀλλά ἑ κικλήσκοντος ἐμεῦ ἐπάκουσε λιτάων.
ἐκ σέθεν αἶνος ἐμὸς μεγάλην μεθ᾽ ὁμήγυριν ἀνδρῶν,
εὐσεβέων κατέναντι φίλας ἵσαιμι θυηλάς.
δαισάμενοι χατέοντες ἑὸν πλησαίατο θυμόν·
ποιμένα δ᾽ αἰνήσουσι θεουδέες ἄφθιτον ἄνδρες·
αὐτῶν θυμὸς ὄνοιτο διηνεκέως βιότοιο.
ἀθανάτου μνήσαιντο παλίνδρομα πείρατα γαίης,
καί μιν γουνάσονται ἐνώπαδον ἔθνεα πάντα.
θείη κοιρανίη γὰρ ἄναξ θεὸς ἔπλετο δήμων.
δαισάμενοι λιτανεῦσαν ἀριπρεπέες χθονὸς ἄνδρες·
αὐτά ἑ γουνάσονται ὅσοι χθονὸς ἔρχατ᾽ ἔνερθεν.
ζῇ δ᾽ οἱ θυμὸς ἐμός, φῦλον δέ μευ αὐτῷ ἔελδον.
ὀψιγόνων τάδε φῦλα θεῷ φρασσάτω βασιλῆϊ·
οὐρανοὶ εὐδικίην ἀγαθὴν ἐρέουσι θεοῖο
λαῷ ἀεξομένῳ, τὸν ἀγήραος ἔκτισεν ἐαστήν·

## Ψαλμὸς κβ΄.

Εἰκοστὸν ἠδὲ δεύτερόν τε μέλπεται,
τῷ καλλινίκῳ τοῦτο Δαβίδου μέλος.

ΟΥπνος ἀθάνατός μ᾽ ἐπιδευέα πάγχυ νομεύων,
εὖ γε παρὰ χλοάοντι κατεσκείξατο χώρῳ·
θυμὸν ὑπ᾽ ὀλβίστοις ἀμπαύματος ὕδασι φέρβεν.
ἐξ ὀλιγηπελίης παλινάγρετον ἦτορ ἔγειρε·
πρὸς δὲ δικαιοσύνης ἱερὰς ἴθυνεν ἀταρπούς,
εἵνεκεν ἀθανάτοιο μεγασθενέος βασιλῆος·
εἰ γάρ κεν θανάτοιο μέσον σκιόεντος ὁδεύσω,
οὔ κεν ὑποδδείσαιμι τεῇ περιθαρσύνος ἀλκῇ·

σκῆπτρον σεῦ ῥόπαλόν τε παραιφασίην φρενὸς ἔσχον.
ἀθανάτην μοι ἄναξ παρεθήκαο σεῖο τράπεζαν,
ῥιγεδανῶν βρίθουσαν ἐμῶν κατ᾽ ἐναντίον ἐχθρῶν.
νωΐτερην ἀγαθῷ κεφαλὴν λίπηνας ἐλαίῳ·
οἷά περ εὐφροσύνης σεῖο μοι δέπας ἔμπεδον ἔστω·
σεῖο διηνεκέως ἡ ἐλεημοσύνη με διώκοι,
ἤμασι μηκεδανοῖσι θεοῦ ναίοντα μέλαθρα.

Ψαλμὸς κγ΄.

Πρὸς κλεινὸν ἦμαρ σαββάτου πρῶτον μέλος,
Δαβίδος ἠλάλαξεν εἰκοστὸν τρίτον.

Χθὼν βασιλῆος ἔφυ, καὶ ὅσσος χθονὸς ἔπλετο κόσμος,
ἄστεα, καὶ ξύμπαντες ὅσοι περιναιετάοισιν.
αὐτός μιν κατένασσεν ἐπ᾽ ἀτρυγέτοιο θαλάσσης,
καὶ ποταμῶν καθύπερθεν ἑῇ τεχνήσατο βουλῇ.
τίς βροτέης γενεῆς ἐπιβήσεται οὔρεϊ θείῳ·
ἢ τίς ἐπ᾽ εὐαγέος δαπέδου φίλον ἴχνος ἐρείσει·
ὃς καθαρὰς παλάμας κραδίην τ᾽ ἄχραντον ἔχῃσιν.
οὔποτε μαψιδίοισι θυμὸν ἑὸν ὑπεροπεύσας,
οὐδ᾽ ὅρκον δολόεντα φίλῳ παρὰ μοῖραν ὀμόσσας.
οὗτος ὑπ᾽ ἀθανάτοιο κομίσσεται αἶνον ἄνακτος·
θεσπεσίην δ᾽ ἐλεητὺν ἄφαρ σωτῆρος ἐφεύροι.
ἥδε θεὸν βασιλῆα βροτῶν ποθέουσα γενέθλη,
ἐλδομένη θεὸν αὐτὸν Ἰακώβοιο νοῆσαι.
ὑμέων αἶψα πύλας ἀναείρατε ἡγεμονῆες,
οἱ δ᾽ ἀναπεπτάσθων πυλέων ἄρρηκτοι ὀχῆες·
ὥς κεν γ᾽ εὐκλείης βεβαὼς παρελεύσεται ἐσσήν.
τίς ὅδε δ᾽ εὐκλείης βασιλεὺς ἄχραντος ἐτύχθη·
ἀθάνατος σθεναρός τε, καὶ ἀπερόπτολος ἐρωῇ,
ἀθάνατος μενέχαρμος ἀεὶ περικάρτεϊ γαίων.

ὑμείων ἄψα πύλας ἀναείρατε ἡγεμονῆες,
εὖ δ' ἀναπεπτάσθων πυλέων ἄρρηκτοι ὀχῆες·
ὥς κεν γ' εὐκλείης μεμαὼς παρελεύσεται ἐοστήν.
τίς δ' ὅγε γ' εὐκλείης βασιλεὺς ἄχραντος ἐτύχθη.
μοῦνος ἄναξ σθενέων, ὅδε κύδεος ἄφθιτος ἐοστήν.

## Ψαλμὸς κδ.

Τέτρατον εἰκοστὸν τε μέλος Δαβίδος ἄεισεν.

ΤΟὶ περιθαρσείης βασιλεῦ μεγαλίζομαι ἦτορ·
μὴ δ' ἐπιπιστεύσας τοὶ ἐλεγχέα μῶμον ἑλοίμην,
μηδὲ γέλως ὀλοοῖσι παρ' ἀντιβίοισι γενοίμην.
ἀψηγέες γὰρ πάντες, ὅσοις θεὸς ἐλπὶς ἐτύχθη·
μαψιδίων περικτῆρες ἐπαισχύνοιντο κακοῖσιν.
ἀμφαδίην γνοίημι μακάρτατε σεῖο κελεύθους.
καί με τρίβοις ἀγαθαῖς τε θεοδμήτοις τε διδάσκων,
σὴν μετ' ἀληθείην με πολύλλιτον ἡγεμονεύσαις.
ὡς δ' ἀλκτὴρ ἀγαθός με ἐοικότα πάντα διδάσκοις·
λισσόμενός τε ἄληκτα πανημέριον δρόμον ἕλκω.
ἀλλά τεῆς ἐλεημοσύνης μεμνημένος εἴης.
ἐκ παλαχῆς μετὰ πᾶσι νέμοις οἰκτίρμονα θυμόν.
μὴ μὲν ἀτασθαλίην σφαλερῆς μέμνησαι ἥβης·
εὖ δὲ θεὸς γεγαώς, ἐλεητύος ἄξια ῥέξοις,
εἵνεκα τιμήεντος ἐνηείης βασιλῆος.
πρηΰνοός τε καὶ ἰθύδικος θεὸς αἰὲν ἐτύχθη·
τοὔνεκ' ἀμαρτινόοις ὁσίην ὁδὸν ἔφρασε θυμῷ.
ἀνδρῶν εὐδικίης ἡγήσεται ἠπιοθύμων,
καὶ ἀτραποὺς σφετέρας ἀγανόφροσιν ἐξαναφαίνοι·
ἀθανάτου πᾶσαι νημερτέες εἰσὶν ἀταρποί,
μαρτυρείην μεθέπουσι συνημοσύνην τε θεοῖο·
εἵνεκεν ἀθανάτοιο μεγασθενέος βασιλῆος,

ἀμπλακίαις πυκινῇσιν ἐμαῖς πέρι ἵλαος εἴης.
τίς πόσον ἀθάνατον τρομέων ἄνθρωπος ἐτύχθη·
εἰς ἀρετὴν σπεύδων θεοτερπέα θεσμὸν ἀνύσσοι,
αἰὲν ἐπ' ὀλβίστοις κραδίην πολυγηθέα βόσκων,
καὶ χθόνα τιμήεσσαν ἑοὶ κτησαίατο παῖδες.
ἀθάνατον τρομέουσι πέλοι περιώσιος ἀρηγή·
οὔνομα ἀθανάτοιο φέρει τρομέουσιν ὄνειαρ.
συνθεσίην ἀρίδηλον ἑὴν σφίσιν ὄφρα φαείνῃ.
νωλεμέως ὀφθαλμὸν ἀπῃώρησα θεοῖο,
οὕνεκά μευ δολεροῖο πάγης ἐξέσπασε πέζας.
οὐρανόθεν μοι ἄναξ πανδερκέα τεῖνον ὀπωπήν,
οὕνεκα μουνογενής τις ἐγὼ καὶ πτωχὸς ἐτύχθην.
ψυχῆς ἡμετέρης πυκιναὶ βρίθουσιν ἀνῖαι.
ἀλλά γε ῥιγεδανῆς ἀπολύσεται αὐτὸς ἀνάγκης.
ἀδρανίην καὶ μόχθον ἰδὼν ἐμὸν ἵλαος εἴης.
πληθὺν ἐμῶν δηΐων ἐπιδέρκεο νηλεοθύμων,
οἵ μοι ὀδυσσάμενοι, ἀθέμιστον ἔχθος ἔθεντο.
ψυχῆς ἡμετέρης περικήδεο καί με φύλασσε·
μηδέ μ' ἕλοι ποθὲν αἶσχος, ἐπεὶ σύ μοι ἐλπὶς ἐτύχθης.
σεῦ ἕνεκ' ἰθυνόους τε καὶ ἀνηέας εὗρον ἑταίρους·
Ἰσραήλου πᾶσαν ἀπεξήσειας ἀνάγκην.

## Ψαλμὸς κε΄.

Δαβίδου πέμπτος τε καὶ εἰκοστὸς πέλει ὕμνος.

ΗΜετέρῳ δικάσειας ἄναξ ἀγανόφρονι θυμῷ·
μή μ' ὀλιγηπελίη πίσυνον βασιλῆϊ δαμάσσῃ·
εἰ δ' ἄγε πείρησαι, καὶ ἐμὴν σκοπιάζεο βουλήν·
νεφροὺς καὶ κραδίην κρίνοις περιθαλπέϊ πυρσῷ·
ὀφθαλμῶν ἐλεητὺς ἐμῶν σέθεν ἄντιον ἐστὶ,
καί σευ ἀληθείῃ γνώμην καταθύμιος αἰεί.

οὔποτε ματιδίοισι μολὼν ἐκάθισα θοώκοις.
οὐδ' ἐπαγγρομένοισι συνέμπορος ἦλθον ἀλίταις.
τέκτοσιν ἀμπλακίης ὀλοῆς ἤχθηρα παρεῖναι·
δυσσεβέων δ' ἀπέειξα κακὴν καὶ ὑπέρβιον ἕδρην.
ἀχράντοισιν ἐμὰς ἀπονίψομαι ὕδασι χεῖρας,
καὶ σέο βωμὸν ἄναξ πανακήρατον ὑμνοπολεύσω,
εἰσόκεν εὐφήμοιο βοῆς κλυτὸν αἶνον ἀείσω·
καὶ σέο θέσκελα ἔργα περιφραδέως ἀγορεύσω.
θεσπεσίων ἀείδηλον ἔδος ἐπόθησα μελάθρων,
ὄλβιον δ' ἀνάπαυμα τεῆς ἑλικυδέος αἴγλης.
μηδέ μευ θυμὸν ἄναξ μετὰ δυσσεβέεσσιν ὀλέσσῃς,
μηδὲ μετ' ἀνδροφόνοισι βίου ποτὲ μοῖραν ὀπάσσῃς.
κείνων ὧν γεγάασιν ἀτασθαλίαι παλάμῃσιν,
καὶ σφέων δεξιτεραὶ μογεροῖς βρίθουσ' ὑπὸ δώροις.
αὐτὰρ ἐγὼ σπεύδων βίον ἤλασα μείλιχον αἰεί.
ῥυσάμενός μ' οἴκτειρον, ἐπεὶ σταθερὸν λάχον ἴχνος·
καί σε μάκαρ μέλψαιμι περικλήσεσι λιγαίνων.

## Ψαλμὸς κς.

Πρόσθεν ἀνακτορίης γεραρῆς Δαβίδος ἀμύμων
ἕκτον ἐεικοστόν τε σοφὸν τεχνήσατο κῶμον.

Ἄλκαρ ἐμὸν καὶ φέγγος ἄναξ, τίνα δειμαίνοιμι.
αὐτὸς ἐμεῦ βιότοιο πρόμος, τίς κέν με φοβοίη.
σαρκοφάγοι μεμαῶτες ἐμοῖς μελέεσσι πελάσσαι,
κάππεσον ἀδρανίῃ δήϊοι καὶ ἀνάρσιοι ἄνδρες.
οὐκ ἀλέγω, οὐδ' εἴ μοι ἅπας στρατὸς ἀντίος ἔλθοι·
ἐλπὶς ἐμὴ θεός ἐστι· τί μοι δέος ἔπλετο χάρμης·
ἓν λιτόμην θεόθεν, τόδε μοι τελπόθητον ἐτύχθη,
ναιετάειν μεγάροισι διηνεκέως βασιλῆος,
αἰὲν θεσπεσίην σκοπιαζέμεν ὄμμασι τέρψιν,

αἰεὶ νηὸν ἄνακτος ἀκήρατον ἀμφιπολεύειν.
ὥρῃ ἀναγκαίῃ κλισίῃσί με κεῦθεν ἑῇσιν,
ἀθανάτης καλύβης με παρ' ἐνδομυχοῖσι καλύπτων.
ἠλιβάτου περίπυστον ὑπὲρ πέτρης ἀνάειρας.
νῦν δ' ἐμὸν ὧδ' ἀνάειρεν ἐπ' ἀντιβίοισι κάρηνον.
θείην ἀμφέρρεξα θύος κλισίην ἀγλαΐζων·
ἀθάνατον ψαλμοῖσι καὶ εὐεπίῃσιν ἀείσω.
πρὸς σὲ μάκαρ βοόωντος ἐμῆς ἐπικέκλυθι φωνῆς.
κέκλυθι, καί μ' ἐλέαιρε· νόος δέ τοι εἶπεν ἐμεῖο·
νωϊτέρη μέμονε κραδίη τεὸν ὄμμα νοῆσαι·
σὸν φάος εὐάντητον ἀεὶ διζήμενος εἴλην.
μή μευ σὴν χαρίεσσαν ἀποστρέψας ὀπωπήν,
μηδὲ παρεκκλίνειας ὀδυσσάμενος θεράποντι.
αὐτὸς ἄναξ ἐπίκουρος ἔοις, καὶ μή με μεθείης,
μηδέ με καλλείψας ἐὼν θεὸς αἰὲν ἀμύντωρ.
οὕνεκα δή με πατὴρ καὶ πότνια κάλλιπε μήτηρ,
ἀθάνατος δ' ὑπέδεκτο καὶ ἐξεσάωσε φυλάσσων.
σῇσι μάκαρ θέσπισον ἀεὶ βαίνειν με κελεύθοις·
εἵνεκα δυσμενέων ἀγαθῇ μ' ἴθυνον ἀταρπῷ·
μή με πόροις ψυχῇσιν ἑλώριον ἔμμεναι ἐχθρῶν·
οὕνεκά μευ κατέναντ' ἄδικοι ἐπιμάρτυροι ἔσταν·
αὐτῇ δυσνομίῃ δ' ἀδίκοις ἐψεύσατο λώβαις.
ἐν γαίῃ μακάρων θεὸν ὄψομαι ὄμμασιν ὄλβον.
ἐλπωρὴν βασιλῆϊ θεῷ παρακάτθεο πᾶσαν,
θάρσει καὶ σέο θυμὸς ἀεὶ κρατερώτατος ἔστω,
ἐλπωρὴν βασιλῆϊ θεῷ παρακάτθεο πᾶσαν.

Ψαλμὸς κζ.

Εἰκοστὸν ἕβδομόν τε Δαβίδου μέλος.

Πρὸς σὲ μάκαρ βοόω, σιγῇ δέ γε μή με παρέλθοις,
μὴ σέθεν ἠρεμέοντος ξυνομένου τι σιωπῇ,

τοῖσι μέμβλωκα νεκυσσομένοις χθόνιον παρομοίϊος εἴην.
εὐχωλῆς ἐπάκουσον ἐμῆς μάκαρ αὐτομένοιο·
εὖτε πρὸς ἄχραντον παλάμης σέο ναὸν ἀείρω.
μή μευ ἁμαρτινόοις κραδίην ἅμα σύνδρομον ἕλκοις,
μηδέ μετ' ἐργατίνησι κακοῤῥαφίης με δαμάσσῃς,
εἰρήνην σφετέροισιν ὅσοι λαλέουσιν ἑταίροις,
ἄλγεα δ' ἐν στέρνοισι κατακρύπτουσιν ἑοῖσιν.
οὐλομένων δέξοιντο πόνων ἐπάξιον ἄτην·
δὸς σφίσιν ὦ βασιλεῦ σφετέρων ἐπάξια ἔργων,
οἷά τε χερσὶν ἔρεξαν ὁμῶς κομισαίατο δῶρα·
μισθὸν ἕλοιντο δίκη μεμαρμένον ὧν δόσαν ἄλλοις.
ἀθανάτου ὅτι πάμπαν ἔσαν ἀμνήμονες ἔργων·
ἔργων δ' ἐξελάθοντο θεοῦ μεγάλων παλαμάων·
αἰεὶ σφέας καθέλοις, καὶ μήποτε πάμπαν ἐγείροις.
ἀθάνατος πολύαινος ἐμῆς θεὸς ἔκλυεν αὐδῆς,
αὐτὸς ἄναξ ἐπίκουρος ἐμὸς προμαχός τε τέτυκται.
οἶδα νόῳ πόσον ἦτις ἐφεύρατο κέρδος ἀρωγῆς·
ὑψικόμοις τ' ἀνέθηλεν ἐμὸν δέμας ἶσα πετήλοις.
καί οἱ ἑκὼν ἀγαθόν τε καὶ ἄσπετον αἶνον ἀείσω.
αἰὲν ἄναξ λαοῖο βίη καὶ κάρτος ἐτύχθη,
σφωϊτέρου χριστοῖο διηνεκέως προμαχίζων.
λαὸν σὸν καὶ κλῆρον ἐϋκλείεντα σαώσοις,
καί σφέας ἠνεκέως ἀγαθοῖς ἀνάειρε νομεύων.

## Ψαλμὸς κη.

Ογδοον εἰκοστόν τε μέλος κλισίηθεν ὁδεύων
Δαβίδος κελάδησε σοφῇ φόρμιγγι λιγαίνων.

Οἴσετε παμβασιλῆϊ θεῷ μεγαλαυχέες υἷες.
οἴσετε παμβασιλῆϊ θεῷ ἁπαλόχροας ἄρνας·

οἴσετε τιμήεντι φερώνυμον εὖχος ἄνακτι·
αὐλῇ ἐν ἀχράντῳ λιτανεύσατε ποιμένα κόσμου.
ἀθανάτου βόμβησεν ἐφ' ὕδασιν ἄτρομος αὐδή,
ἀρχός τ' εὐκλείης ἀειδείκετος ἐβρόντησεν·
αὐτὸς ἄναξ πολέεσσιν ἐφ' ὕδασιν ἀμφιβέβηκε·
φωνὴ παμβασιλῆος ἑῇ περιώσιος ἀλκῇ,
φωνὴ παμβασιλῆος ἀειπρεπέεσσιν ἐν ἔργοις,
φωνὴ θεσπεσίη περιμήκεας ἔθλασε κέδρους·
ἀθάνατος κέδρους βελαρὰς Λιβάνοιο κεάσσοι,
λεπταλέας τεύχων λιβανήϊον οἷά τε μόσχον·
μουνογενὴς δ' ἅπερ υἱὸς ὀρέστερος οἰοκερῆος.
θεσπεσίη τέμνουσα πυρὸς φλόγα ποιμένος αὐδή,
θηροκόμου δονέουσα θεοῦ διὰ γῆρις ἐρήμου·
ἀγροτέρης πανέρημα Κάδης θεὸς ἀμφελελίζοι.
ἐρχομένοις ἐλάφοισι δρόμου θρόος ἶσος ἄνακτος,
ὅς τε λίην βόμβησεν ἀπὸ δρυμὰ μακρὰ καλύψων.
πᾶς δέ τις ἐν νηῷ μάκαρος θεοῦ εὖχος ἀείσοι·
ναιετάει βασιλεὺς ἀρετὰς κρουνηδὸν ἰοῦσας.
ἀθάνατος καὶ ἄπαυστος ἄναξ θώκοισι θοάσσοι·
αὐτὸς ἑοῖσι λαοῖσι βίην ἄρρηκτον ὀπάζοι·
αὐτὸς ἐν εἰρήνῃ ζωαρκέϊ λαὸν ἀέξοι.

### Ψαλμὸς κθʹ.

Εἰκοστὸν κελάδησε καὶ εἴνατον ἱερὸν ᾆσμα
Δαβίδος πινυτὸς δωμησάμενος νέον οἶκον.

ΣΟν κράτος ὑψώσαιμ', ὅτι με προσεδέξαο ποιμήν,
οὐδέ μ' ἐπευχομένοις δηΐοις δωρήσαο χάρμα.
ἤματος βοάασκον, ἐμὴν δ' ἰήσαο νοῦσον·
ψυχὴν δ' ἐξ Ἀΐδαο παλίσσυτον ἤγες ἐμεῖο,
καί με κατερχομένων ὑπὸ πυθμένα ῥύσαο γαίης.

εὐα-

εὐαγέες μεγέεσσι θεὸν φορμίζατε θεῖοις,
καί οἱ ἀκηράσιον μνημήϊον αἰνετὸν ἔστω·
οὕνεκα μηνίσαντι θεῷ κότος ἐστὶ βαρύφρων,
καὶ μεταμηνίσαντι φάος περιπίδεσσι βιώνης.
ἑσπέριον κλαυθμὸν τέρψις μεταμείψετ' ἐώη.
εὔθυμος δ' εἶπον, σάλος ὅττι μοι οὔποθεν εἴη·
κάλλεϊ νωϊτέρῳ σθένος ἄφθιτον ἐκ σέθεν ἔσω.
ὄμμα σέθεν τρέψαντος, ἐμὰ κλόνος εἵλετο γυῖα.
πρὸς σὲ μάκαρ βοόων, λίτομαι θεὸν αἰὲν ἐόντα.
τί πλέον εἰ πόρον αἷμα, καὶ ἐς ἀΐδαο κατῆλθον·
μή σε κόνις μεγαλύνει ἢ γηθεῖ λω δ' ἀγορεύσει;
εἰσαΐων μ' ἐλέησεν ἄναξ καὶ ἐπίρροθος ἔστη·
θρῆνον ἐμὸν μετέθηκε, γόον δ' ἠλλάξατο χάρμα·
εὐφροσύνην ἔζωσεν, ἔρυξε δὲ πένθιμον ἦτορ.
φορμίζειν σ' ἐμὸς ὄλβος, ὅλον δέμας κάμνυται οἴμη.
ἄφθιτε παμβασιλεῦ, σὲ διηνεκέως ἀναμέλψω.

## Ψαλμὸς λʹ.

Τὴν δὲ τριηκοστὴν ἱερὴν πεφορημένος οἴμην
πνεύματι Δαβίδος θεσπεσίῳ βοάει.

ΜΗ με καταισχύνῃς γε, ἐπεὶ σύ μευ ἐλπὶς ἐτύχθης·
σῇ μάκαρ εὐδικίῃ περικήδεο, καί με φύλασσε.
ὠκύτερόν με σάω κλίνας ἀεριήκοον οὖας·
νωΐτερος θεὸς ἔσσο καὶ τεῖχος ἀσπιδιώτης,
οἶκος ἀοσσητῆρι πανείκελος ὥς με σαώσῃς·
αὐτὸς ἐμὸν πολύχαλκον ἕδος καὶ εὐσταθὲς ἄλκαρ·
ἡμετέρου γεγαὼς βιότου τροφὸς ἡγεμονεύοις.
ῥηϊδίως ἄγχαντε πάγης κρυφίης με σαώσοις,
οὕνεκα νωϊτέρου βιότου πρόμος ἔπλεο μοῦνος.
πνεῦμα φίλον σῷο χερσὶ φρεζώοις παραθήσω.

ἀρχὸς ἀληθείης πελέθων ἀπελύσαο μόχθων.
ἀπρήκτου ματίης ὠδύσαο πάντοτε φρουρόν.
αὐτὰρ ἐγὼν ἐλέῳ πίσυνος τεῷ ἠπίδι χαίρω·
σῇ φρένα τερψάμενος ἐλεημοσύνῃ κεχαροίμην.
ὅττι μὲν ἀδρανίην ἀγανόφροσιν εἶδες ὀπωπαῖς,
ψυχὴν ἡμετέρην ὀλοῆς ἐσάωσας ἀνάγκης·
οὐδέ με δυσμενέος παλάμῃ ξυνέεργες ἀνιγρῇ·
ἴχνια μὲν στήριξας ἐπ' εὐρυχόροιο κελεύθου.
τειρόμενον μ' ἐλέησον ἐπεὶ περικήδομαι αἰνῶς·
μῆνις ὀπιβείσασα ἐμὴν κλονέεσκεν ὀπωπὴν,
γαστέρα θ' ἡμετέρην καὶ ἐμὸν πολυώδυνον ἦτορ.
ἀμφ' ὀδύνῃς πυκινῇσι μαραινόμενον βίον ἦγον.
ἐν στοναχαῖς τ' ἐνιαυτοὶ παραλήγουσι βιώνης.
κάρτος ὀϊζυροῖς πενίης ἐξέφθιτο μόχθοις,
καί μευ φευκαλέη ταραχὴ λάβεν ὀστέα πάντα.
αἶσχος ὑπὲρ πάντας γενόμην περιώσιον ἐχθροῖς.
μορμωτὸς γνωστοῖσι, φίλοισι δὲ δεῖμα θυραίοις·
οἵ με πάρος λεύσσοντες, ἔβαν μάλα νόσφι φυγόντες·
νεκρὸς ὅπως ἄπρηκτος ἀπὸ κραδίης ἐπελήσθην.
τεύχει ἀπολλυμένῳ πανομοίιος ἐξεσάανθην,
μῶμον ἐλεγχέεντα περικτιόνων ἐπακούσας,
οἵ θ' ἅμ' ἀγειρόμενοι μὲν ἐναντίοι ἠγερέθοντο,
στήθεσιν ὁρμαίνοντες ἐμεῦ ἀπὸ θυμὸν ἑλέσθαι.
αὐτὰρ ἐγὼ καλέον σε θεόν· σὺ γὰρ ἐλπὶς ἐμεῖο,
σῇσι μάκαρ μετὰ χερσὶν ἐμοὶ κλῆροι γεγάασι·
ῥύεο δυσμενέων με καὶ ἀντιβίων παλαμάων.
ἀθάνατοι περιύφαινε τεῷ θεράποντι πρόσωπον.
εἵνεκα σῆς ἀγαθῆς ἐλεημοσύνης με σαώσοις,
μήποθεν αἶσχος ἕλοι με· σὲ γὰρ καλέεσκον ἀρωγόν.
εἰς ἀΐδην καταγοῖντο καταισχυνθέντες ἀλεῖται.

ἄφθογγα δολόεντα γενοίατο χείλεα φωτῶν,
ὅσσα κατεφθέγξαντο κακορραφίην ὁσίοιο·
πολλὸν ἀγηνορίῃσιν ὀνοσσάμεναι στυγερῆσι.
σῆς ἀγανοφροσύνης ἀπερείσιος ἐσμὸς ἐτύχθη,
ἣν κρύψας μάλα δή σε περιτρομέοισι φυλάσσων·
σῆς ἐπιδευομένοις εἰργάσσαο παντοῖ' ἀρωγῆς,
ἀνδρομέης κατέναντα πολυτλήτοιο γενέθλης.
ἔκτοσθε βροτέης τε ταραχῆς σφέας ἀμφικαλύπτοις·
νείκεος ἐν κλισίῃσι τεῆς ἀπάνευθε πυκάζοις·
αἰνετὸς ὡς ἐλεητὺν ἐν ἄστεϊ θῆκεν ἀγητήν.
θαμβήσας ἐφάμην, ὦσμαι σέο νόσφιν ὀπωπῆς.
ἔνθεν δὴ ἄναξ βοόωντος ἐμεῦ ἐπάκουσε λιτάων.
ἀμφαγαπαζέσθων ὅσιοι σύμπαντες ἄνακτα,
οὕνεκ' ἀληθείης βασιλεὺς ἐμπάζεται αἰεί,
μισθὸν ὑπερφιάλοις ἀντάξιον ἐγγυαλίζων.
θαρσεῖτε, κραδίη δὲ μάλ' ἡμέων ἔμπεδος ἔστω,
ὅσσοι ἐπ' οὐρανίοιο θεοῦ ἐλπίζετ' ἀρωγήν.

## Ψαλμὸς λαʹ.

Τοῦτο τριηκοστὸν πέλεθ' ἓν καὶ πρῶτον ἄεισμα
Δαβίδου πινυτοῦ καλὰ μητιζομένου.

Ὄλβιοι ὅσσ' ἀνεδέχθεν ἐλεύθεροι ἀμπλακιάων,
οἷσί τ' ἀτασθαλίαι μεμνημέναι οὐκέτ' ἔασιν.
ὄλβιος οὗ θεὸς ἔργα παρέδραμεν ἀμπλακιάων,
γλῶσσαν ἔχων δολερῶν ἀδαήμονα δυσφροσυνάων.
ὀστέα γηράσκοντα δυσαλθέϊ πύθετο σιγῇ,
νωλεμέως καὶ ἄπαυστα πανημέριον βοόωντος.
πάντοτε γάρ μου ἄναξ ἐπ' ἐμοὶ σέο χεὶρ βαρείη
δείλαιος γενόμην, ὅτι μοι χροῒ πῆχθεν ἄκανθαι.
ἀμπλακίην ἀνέφηνα, νόου δ' οὐκ ἔσκεπον ἄτην,

εἶπα θεῷ πρῆξιν μὲν ἀτάσθαλον ἐξαγορεύσω·
αὐτὸς δ' ἡμετέρης κραδίης παρελήλυθας ἄτην.
τῆς δ' ἕνεκ' ἔσθ' ὁσίοισι λιτὴ μεθ' ἐναίσιμον ὥρην·
οὐδ' ἐπιχευομένων ὑδάτων τρεπεῖεν ἀνάγκην.
σὺ ξυνεργούσης με πελέσκεο πύργος ἀνίης·
χάρμα φίλον σύ με τεῦξον ἐλεύθερον ἀμφιβαόντων.
γνοίης δ' ἐξ ἐμέθεν ποίην χρέος οἶμον ὁδεύειν·
εἰς σὲ μάκαρ στήριξα διαμπερὲς ὄμματ' ἐμεῖο,
ὀφθαλμῶν ἀμάρυγας ἐμῶν σέο νέρθεν ἐρείσω.
παύσασθ' ἡμιόνοισι πανείκελοι ἠδὲ καὶ ἵπποις
γινόμενοι· σοφίης γὰρ ἀγακλέος ἄμμοροί εἰσιν.
γαμφηλὰς ξυνέαξον ὀρειχάλκοισι χαλινοῖς,
οἵ σέθεν οὐ μεμάασι γεγηθότες ἄσσον ἱκέσθαι.
παντοδαπαὶ μάστιγες ἀεὶ γεγάασιν ἀλιτροῖς,
ᾧ δὲ θεὸς μέμβλητ' ἔλεος περικυκλώσειε.
χάρμα καὶ εὐφροσύνη θεοτερπέας ἄνδρας ἐρύκοι,
καὶ κλέος ἀμφιβόητον ἐν ἰθυνόοισι μελέσθω.

## Ψαλμὸς λβʹ.

Τόνδε τριηκοστὸν καὶ δεύτερον ἴαχεν ὕμνον
Δαβίδος κιθάρῃ μείλιχα τερπόμενος.

Χαίρετέ μοι βασιλῆϊ δίκης ὑποφήτορες ἄνδρες·
ἀνδράσιν ἰθυνόοισι μεταπρέπει ἄσπετος αἶνος.
μέλψατέ μοι ζώοντα θεὸν φόρμιγγι λιγείῃ·
μέλψατέ οἱ δεκάδεσσι μέλος νευρῇσιν ἱέντες.
ἐκ πραπίδων νέον ὕμνον ἀείσατε παμβασιλῆϊ·
εὖ δ' ἀναμελπέσθω γε δίκης ἐπιήρανος αἶνος·
οὕνεκεν ἀθανάτοιο θεοῦ λόγος ἰθὺς ἐτύχθη.
πάντα δέ οἱ μάλα πιστὰ πέλει βασιλήϊα ἔργα·
εὐδικίην φιλέει λαθικηδέα, καὶ θέμιν ἐσθλήν.

πᾶσα θεοῦ βέβριθεν ἄδην ἐλεητύος αἶα.
οὐρανοὶ ἐῤῥίζωθεν ἐφημοσύνῃ βασιλῆος,
καὶ πᾶσ' ἀθανάτου στόματος σφέων πνεύματος ἀλκή.
ἀσκὸν ὅπως πόντοιο ῥόον πολυηχέ' ἀγείρων,
τεύχει καὶ θέμενος κρυφίοις ταμίοισιν ἀβύσσου.
δειμαίνοι βασιλῆα θεὸν κλυτὰ πείρατα γαίης·
ἐκ δ' αὐτοῦ δονέοιντο ὁπόσσοι χθόνα ναιετάουσιν.
οὕνεκεν αὐτὸς ἔειπε, καὶ ἐκτετέλεσθεν ἅπαντα·
αὐτὸς ἄναξ ἐκέλευσε, τὰ δ' ἐβλάστησεν ὁμαρτῆ.
ἀθάνατος σκεδάσειεν ἀπείρατα δήνεα δήμων,
καὶ λαῶν ὀνόσαιτο πολυστρεφέας μελεδῶνας·
δήνεά θ' ὑψινόων παραμείψεται ἡγητήρων.
βουλὴ δ' ἀθανάτοιο διηνεκέως ἐπιμίμνει,
μέρμερα δὲ κραδίης γενεῆς ἀπὸ μέχρι γενέθλης.
φῦλον ἀεὶ μακάρεστον ἑῷ βασιλῆϊ πεποιθός·
λαὸς ὃν ἐκ πάντων ἐπελέξατο κλῆρον ἑλέσθαι.
οὐρανόθεν βασιλεὺς πανδερκέα τεῖνεν ὀπωπήν·
ἀνδρομέην σφετέρης ἐκ παστάδος εἶδε γενέθλην·
ὄμμασιν ἐνναετῆρας ὅλης θηήσατο γαίης,
ὃς θνητῶν κραδίην παλάμῃ τεκτήνατο μοῦνος,
ὃς σφέων ἐν πραπίδεσσι διαμπερὲς ἔργα δοκεύει.
οὐ σθένος οἶδεν ἄνακτα μεγακλήεντα σαῶσαι·
οὐδὲ γίγας κακότητα φύγοι περιθάρσυνος ἀλκῇ.
ἵππος ἐνὶ πολέμοις ἀχρήϊος ἄνδρα σαῶσαι,
οὐδ' ἕνεκεν αὐτὸς ἄλυξε περὶ σθένεϊ βλεμεαίνων.
ὀφθαλμοὶ ἐτάνυσθεν ἐπὶ τρομέοντας ἄνακτος,
ὀφθαλμοὶ μεγάλοιο θεοῦ τρομέοντας ὁρῶσιν,
ὅσσοι θεσπεσίῳ ἐλέῳ μεμελημένοι εἰσί.
ψυχὰς ἐκ θανάτοιο τανηλεγέος ἀπορύξαι,
καὶ θρέψαι στονόεντι πιεζομένους φρένα λιμῷ.

ἡμέτερος μάλα θυμὸς ἀπηώρηται ἄνακτος,
οὕνεκεν ἡμείων πρόμαχος καὶ ἀρωγὸς ἐτύχθη.
ἀμφ᾽ αὐτῷ κεχάροιτο νόος πραπίδεσσιν ἰανθείς,
καί οἱ ἡμετέρη ὄνομα κλυτὸν ἐλπὶς ἐτύχθη.
αὐτὸς ἄναξ ἐλεητὺν ἀπείριτον ἄμμιν ὀπάζοις,
οἷα σεῦ ἐλπίζοντες ἀεὶ ποτιδέγμεθ᾽ ἀρωγήν.

Ψαλμὸς λγ΄.

Ὁππότ᾽ Ἀβιμέλεχον μενεδήϊον ὑπεροπτεύσας,
ᾤχετο Δαβίδος, σφετέρην δ᾽ ἠλλάξατο μορφήν·
τόνδε τριηκοστὸν τέτρατόν θ᾽ ἅμα κῶμον ἔμελψεν.

Εὐφήμοις ἐπέεσσιν ἀεὶ βασιλῆα βοήσω,
νωλεμέως γλώσσῃ σφέτερον μῦθος αἰνετὸν οἴσω.
κυδαίνοιτο μὲν ἦτορ ἐν ἀθανάτῳ βασιλῆϊ·
μείλιχοι εἰσαΐοντες ἐμῷ κεχαροίατο θυμῷ.
ἀμφ᾽ ἐμοὶ ἀθάνατον μεγαλίζετε ποιμένα κόσμου,
καί οἱ ἀγειρόμενοι ἀναείρομεν οὔνομα πάντες.
οὖας θῆκεν ἑτοῖμον ἀνιχνεύσαντί μοι ἐστίν,
παντοίης δ᾽ ὀλοῆς με θεὸς ἐξείλετ᾽ ἀνίης.
σπεύσατέ οἱ πελάσαι, καί οἱ φρεσὶ φέγγος ἑλέσθαι,
ὥς κεν ἀμφιμήτοισιν ἀεὶ λάμπῃ τε προσώποις.
ὧδε πτωχὸς ἄϋσε, θεὸς δέ οἱ ἔκλυεν αὐδῆς·
παντοίης δ᾽ ἐφύλαξεν ἐλέγχιος ἔκτοθεν ἄτης.
ἄγγελος ἀμφιέπων θεῷ ἵζεται ἔνθα καὶ ἔνθα,
κυκλόθεν εὐσεβέων ἀνδρῶν σφέας ὄφρα σαώσῃ.
γευσάμενοι δέρκεσθε ἄναξ ὅτι μείλιχός ἐστιν.
ὄλβιος αἰὲν ἀνὴρ σφετέρῳ βασιλῆϊ πεποιθώς.
εὐαγέες σύμπαντες ἀεὶ περιδείδιτ᾽ ἄνακτα.
εὐσεβέων οὐ γάρ που ἐφιμείρων τις ἐτύχθη.
δευομένους ἐδάμασσε πολυκτεάνους ποτὲ πείνη,
εὐσεβέων δ᾽ ἀγαθοῖσι μέγα βρίθουσι γενέθλαι.

δεῦρ' ἴτε μοι φίλα τέκνα, ἐμῶν δ' ἐπικέκλυτε μύθων,
ὄφρα φόβον βασιλῆος ἀνηέος ἄμμε διδάξω.
τίς πέλει χαρίεντος ἰδεῖν βιότοιο γαλήνην,
ἰσχανόων πολύολβα διαμπερὲς ἤματα λεύσσειν.
γλῶσσαν σὴν ἀπόπαυσον ἐλεγχίστης κακότητος,
καὶ στυγερῶν ἀπάνευθε δόλων σέο χείλεα κεύθοις.
φεῦγε κακορραφίην, ἀγαθῶν δ' ἀναφαίνεο τέκτων,
εἰρήνης ἐρατεινὰ μετ' ἴχνια πάντοτε βαίνων.
ὀφθαλμοὶ βασιλῆος ἐποπτεύουσι δικαίους,
καὶ σφέων εὐχωλῇσιν ἑτοιμότατον πόρεν οὖας.
ἄγρια τεκταίνοντας ἄναξ δοκέεσκεν ὀπωπῇς·
ὄφρα κεν ἐξολέσῃ σφέτερον μνημήιον αἴης.
εὐσεβέες βοάασκον, ἀτὰρ θεὸν εὗρον ἀρωγόν·
παντοίης δ' ἀπάνευθεν ἑῆς ἐφυλάχθεν ἀνίης.
οἷς κραδίη τέθραυσται, ἀεὶ θεὸς οἶδεν ἀρήγειν·
πνεύματι δὲ σφετέρῳ χθαμαλόφρονα φῶτα σαώσει.
πολλαὶ δὲ πυκιναὶ ὁσίων γεγάασιν ἀνῖαι,
καὶ σφέας ἐκ πασέων ἀπολύσεται ἄφθιτος ἐσσήν.
αὐτὸς ἄναξ κήδοιτο καὶ ὀστέα πάντα φυλάξοι.
ἐκ δ' αὐτῶν οὐκ αὖτι καταφθείροιτο ἐαχθέν.
πότμος ἁμαρτινόων ὀλοὸς καὶ ἄποτμος ἐτύχθη.
οἳ δ' ὅσιον στυγέοντες ἀτάσθαλοι αἰὲν ἔσονται.
δμώων σφωϊτέρων κραδίας ἀπολύσεται ἄτης,
οὔ κεν ἀλιτραίνοιεν ἑῆς χατέοντες ἀρωγῆς.

## Ψαλμὸς λδʹ.

Τόνδε τεληκοστὸν καὶ τέτρατον ἴαχεν ὕμνον
Δαβίδος λιγυρῇ μεταπόμενος κιθάρῃ.

Νωϊτέροις ὀλετῆρσιν ἄναξ ἄχραντε δικάζοις.
νωϊτέροις δηΐοισιν ὑπερμενέως πολεμίζοις.
ἀσπίδα καὶ ξίφος ὀξὺ λαβών, ἐπιτάρροθος εἴης.

φάσγανον ἀμφῆκες δηΐων κατέναντι διωκτοῖς·
ἔννεπε μὲν ψυχῇ, σέθεν ἀσφαλὲς ἕρκος ἐτύχθην.
θυμὸν αἰσχύνοντας ἐμὸν διὰ μῶμος ἐλέγχοι·
κήδεά μοι ῥάπτοντας ἀποστρέψειας ὀπίσσω·
οἷα κόνις δνοφεροῖσιν ἐλαυνέσθωσαν ἀήταις·
καὶ σφέας ἀθανάτοιο διάκτορος ὀξὺς ἀπείργοι·
οἶμος ὀλισθηρὴ ζοφερή θ' ἅμα τοῖσι γενέσθω,
καὶ σφέας ἀθανάτοιο διάκτορος αἶψα διώκοι.
κρύβδην μαψιδίως ὅτι μοι λίνον ἐστήσαντο·
μαψιδίως ἐμὸν ἦτορ ὀνείδεσιν ἐστυφέλιξαν.
τὴν φρεσὶν οὐ δοκέουσι πάγην, σφέας ἀγρεύσειεν·
ἧς δὲ κατεκρύψαντο γενοίατο κέρδεα θήρης,
ὀλλύμενοι δολόεντι λίνῳ τό περ ἔπλεκον αὐτοί.
αὐτὰρ ἐμὴ ψυχὴ κεχαρήσεται ἀμφὶ ἄνακτι,
καί οἱ ἀλεξικάκῳ περὶ φέγγει γηθήσειεν.
ὀστέα πάντ' ἐρέει, τίς τοι μάκαρ ἄλλος ὁμοῖος,
ῥυόμενος πτωχὸν κρατερῶν ἀπὸ λυμαντήρων,
πτωχόν τ' ἠδὲ πενιχρὸν ἀφ' ἁρπαλέων ὀλετήρων.
μάρτυρες ἀνστάντες μ' ὅσα μὴ μάθον ἐξερέεινον·
ἀντ' εὐεργεσίης κακοεργία μισθὸν ἔδεγμην,
ἡμετέρην ἄσπερμον ἐπεσσυμένων φρένα θέσθαι.
αὐτὰρ ἐπειγόμενος βαλόμην περὶ πένθιμον εἷμα·
νηστείης δ' ἐδάμασσα πόνοις βαρυώδυνον ἦτορ·
εὐχωλὴ δ' ἐπὶ κόλπον ἐμὸν στρεφθεῖσα θοάσσοι.
ὡς φίλῳ ὥς τε κασιγνήτῳ τόσον ἥνδανον αἰεί·
ὡς δὲ κατηφιόων ἐδάμην φρενὶ πένθος ἀέξων·
οἱ δ' ἔμεθεν κατέναντα γεγηθότες ἠγερέθοντο·
μάστιγες ξυνάγερθεν, ἐγὼ δ' οὐ πάμπαν ἀνέγνων.
σπλάγχνα βίῃ ῥήγνυντο, καὶ οὐκ ἐνόησαν ἀνίην.
καί μ' ἐπέμυξαν ἄδην, λώβῃ δ' ἀπεπειρήσαντο,

ἀντιβίην κρυφοῖσιν ὀδὰξ ἐν χείλεσι φῶτες.
εἰπὲ μάκαρ, πότε δή μευ ἴδοις δυσάλυκτον ἀνάγκην·
ψυχὴν ἡμετέρην κακοεργέος ἔξελε φύτλης.
αὐτὰρ μουνογένειαν ἐμὴν ῥύσαιο λεόντων.
ἠγαθέῃ βασιλῆα παρὰ κλισίῃ κελαδήσω·
πὰρ λαῷ μεγαλοσθενέτῃ τεὸν ὕμνον ἀείσω.
μὴ δή μοι κεχάροιντ' ἀθεμίστια δυσμενέοντες,
οἳ μεμάτην συγέοισιν, ἀτὰρ νεύοισιν ὀπωπαῖς·
οἳ γάρ μοι εἰρήνῃ προσεοικότα μυθίζοντο,
πικρὰ δέ μοι φρονέουσι δολοφροσύνῃ κοτέοντες.
θυμοδακὲς κατέναντα διὰ στόμα μηκύνοντες,
φαῖντο κακῶν χαίροντες ἐμῶν θηήτορες εἶναι.
εἰ θηήσαο τοῦτο μάκαρ, μὴ δή με παρέλθοις·
μὴ μὲν ἀποσταίης πανεπίσκοπε δῶτορ ἐάων,
μηδὲ δίκην ἄγνωστον ἐμὴν παρελεύσεαι ὄσσοις.
σῇσιν ὑπ' εὐδικίῃσιν ἄναξ μ' ἄχραντε δικάζοις·
σῇ μ' ἐλεημοσύνῃ κρίνοις πανεπίσκοπε ποιμήν,
μὴ δ' ἐπιγηθήσειαν ἀνάρσιοι ἀνέρες ἡμῖν·
μηδὲ γέλως φρενὸς ἄγγος ἐμῆς ποτὲ διπλόον εἶεν,
μηδέ κε λαυκανίαις με καταβρώξειαν ἔπῃσιν.
αἶσχος ἕλοι σύμπαντας ἐμῇ κεχαρηότας ἄτῃ.
ὅσσοι δὲ φρονέουσιν ὑπέρβια, μῶμον ἕλοιντο.
χάρμα καὶ εὐφροσύνη ὅσιον γένος ἀμφιπολεύοι·
πάντοτε μεθεπόντων μεγαλαυχέα δῶρα θεοῖο,
εἰρήνην θεράποντος ἑοῦ ποθέοντες ἰδέσθαι.
γλῶσσα δικαιοσύνην ἐμέθεν σέο πυκνὰ λιγαίνοι,
σεῖο πολυκλήεντα πανημαδὸν αἶνον ἀείσοι.

Ψαλμὸς λε΄.

Ἄφθιτον ἀθανάτου θεράπων Δαβίδος ἀμύμων,
τοῦτο τριηκοστὸν μετέων καὶ πέμπτον ἔμελψεν.

Ἔννεπεν ὃν κατὰ θυμὸν ἀτασθαλίας ἀθέμιστος,
οὐ φορέων βασιλῆος ἐπ' ὄμμασι δεῖμα θεοῖο,
οὐλομένην δολεροῖσιν ἐπ' ἄλγεσι γλῶσσαν ἀέξων,
αἰεὶ δυσφροσύνην στυγερὴν διζήμενος εὑρεῖν·
ἀμπλακίῃ σφέτεροι δολοῇ μεμελήατο μῦθοι,
οὔποτε παντοίην ὁσίην ὁδὸν ἀμφαγαπάζειν.
ἀλλὰ καὶ ἐν λεχέεσσιν ἀτασθαλίῃσιν ἀλείτης,
οὐδ' ἀγαθὸν ῥέξαι βουλεύσατο, οὐδὲ νοῆσαι,
οὐδέ τ' ἀπεχθαίρει κακίης πολυπήμονος ἄλγος.
ἄφθιτε ὑμνήεις ἔλεος τεὸν οὐρανὸς ἴσχει·
σεῖο δ' ἀληθείη καὶ ἐν νεφέλῃσι χορεύει.
σεῖο δικαιοσύνη πανομοίιος οὔρεσι θείοις·
ἴσας εὐδικίας φορέεις βυθίοισιν ἀβύσσοις·
τετραπόδων ἀγέλας μερόπων τε ἅμα φῦλα σαώσεις·
ὧδε τεὴν ἐλεητὺν ἄναξ πληθοῦσαν ἀέξεις.
σῶν πτερύγων μερόπεσσιν ἀεὶ σκέπας ἔσσεται ἤπιε·
πιαλέοις ἀγαθοῖσι τεῶν βελτίοσι μελάθρων·
καί σφεας εὐφροσύνης ἀγανὸς χειμάρροος ἄρδοι.
οὕνεκεν εὔζωος παρὰ σοὶ μάκαρ ἔπλετο πηγή.
ἐν δὲ τεῷ θεοπρεπὲς ἰδοίμεθα φέγγεϊ φέγγος.
σὴν ἐλεημοσύνην βασιλεῦ ποθέουσι τανύσσοις·
καὶ σθένει ἰθυνόοισι δικαιοσύνην ἀναφαίνοις.
μή μοι ἐλεύσειεν καὶ ὑπέρβιον ἴχνος ἐπέλθοι·
μηδέ θ' ἀμαρτινόοιο μάκαρ παλάμη με δονοίη.
κεῖσ' ἔπεσον σύμπαντες ἀτασθαλίης θεράποντες,
οὐδέ τ' ἀναστήσονται ἀκηδέες ἔνθεν ἐλαθέν.

Ψαλμὸς λϛʹ.

Ἀμφ' ἕκτῳ χαρίεντι τριηκοστὸν λίγα μέλπων
ἔβραχε Δαβίδος ἡδὺ μέλος κιθάρῃ.

Μήποτέ μοι φθονέσειας ἰδὼν κακοεργέα φῶτα,
μηδ' ἐπιθαμβήσειας ἐπ' ἐργατίναις κακότητος.
οἵδε γὰρ οἷά τε χόρτος ἄφαρ κατατερσαίνονται,
πίπτοντες χλοεροῖσι θοῶς λαχάνοισιν ὁμοῖοι.
ἐλπωρὴν ἀνάτειλε θεῷ καὶ μείλιχα ῥέζε·
καὶ χθόνα ναιετάοις, νεμέθοι δέ σε πλοῦτος ἀπείρων·
χαίρων ἀθανάτῳ καταθύμια πάντα κομίζοις.
ἀμφαδίην βασιλῆϊ τεὰς ἀνάφαινε κελεύθους·
ἔλπεο μηδ' ἀπολήγ', ὁ δέ τοι σύμπαντα τελέσσει,
καὶ σέθεν ἐξοίσει δικαιοσύνην ἅτε φέγγος.
εὐδικίην δὲ τεὴν πανομοίϊον ἤματι μέσσῳ.
λίσσεό μοι κρατερὸν μειλισσόμενος βασιλῆα.
μήποτε ῥηΐστης βιότης ζῆλός σε χαλέψῃ,
ἀνδρὸς δυστροπίῃ μεμελημένου αἰὲν ἀθέσμου.
δεινὸν φεῦγε κότον, καὶ ἀμειδέα κάλλιπε θυμόν.
μήποτέ μοι φθονέσειας ἀλιτροσύνης ἀλεγεινῆς·
οἱ γὰρ ἀλιτραίνοντες ἀποφθινύθοιντο κακοῖσιν·
οἱ δὲ θεὸν μίμνοντες ὅλην κτησαίατο γαῖαν.
ἀλλ' ἔτι βαιὸν, ἄφαρ παρελεύσεται ὅστις ἀλιτρὸς·
καί οἱ ἀνιχνεύσειας ἕδος, τὸ δ' ἄφαντον ἐτύχθη.
ἄνδρες δ' ἠπιόθυμοι, ὅλην κτησαίατο γαῖαν,
εἰρήνης ἀγαθοῖσιν ἀγαλλόμενοι πυκινοῖσιν.
εὐδικίης θεράποντα φυλάξεται αἰὲν ἀλιτρὸς,
καί οἱ λυσσητῆρας ἐπιβρύξειεν ὀδόντας.
αὐτὰρ ὅ μιν λεύσσων πανυπέρτατος ἡδὺ γελάσσει,
γινώσκων ὅ οἱ ἦμαρ ὀλέθριον εἶσιν ἑτοῖμον.
φάσγανον ἀμφήκες κακοεργέες ἐσπάσαντο,
νευρὴν ἐξετάνυσσαν ἀμαιμακέτῳ περὶ τόξῳ,
πτωχὸν ἑλεῖν σπεύδοντες ἀποφθῖσαί τε πένητα,
ἰθυνόους ξιφέεσσι κατασφάξαι μεμαῶτες.

ἂψ ἀνὰ σφέων ξίφος ὀξὺ διὰ στέρνοιο περήσοι,
καὶ τόξα στονόεντα μάκαρ διὰ λεπτὰ κεάσσεις.
φέρτερόν ἐστ' ὀλίγιστον ἀγακλήεντι δικαίῳ,
ἀμπλακίης ἢ πλοῦτον ἀπειρέσιον ξυναγείρειν.
λεπταλέοι τρίβοιντο βραχίονες ἀφρονεόντων·
ἀθάνατος κλυτὸν ἴχνος ὑποστήσει δικαίων.
αὐτὸς ἄναξ ἄχραντος ὁδοὺς δεδάηκεν ἀμώμων·
αἶσ' ἀγαθῶν καὶ κλῆρος ἀεὶ σταθερώτερος ἔσται.
οὔκεν ἐπαισχυνοῖντο δυσηχέα καιρὸν ἀνάγκης·
λιμῷ δ' ὀκρυόεντι κόρῳ βρίθοιεν ἁπάντων·
ἀμπλακίης θεράποντες ἄδην ἀπολοίατο πάντη.
ἀντιβίων δ' ὅτε κῦδος ὑπερτέλλοι βασιλῆος,
καπνῷ ἀποφθινύθοντι ὁμῶς πανομείιοι ἔσκον.
χρησάμενος κακοεργὸς ἀνὴρ, οὐκ οἶδ' ἀποδοῦναι,
οἰκτείρει δὲ δίκαιος ἀεὶ καὶ πᾶσιν ὀπάζει.
οἱ μὲν ἐπαινήσοντες, ὅλην κτησαίατο γαῖαν.
οἱ δὲ κακῆς βάλλοντες ἀρῆς, ἀπολοίατο πάντη.
νεύμασι θεσπεσίοις ἰθύνεται ἴχνια φωτός.
καὶ σφετέρων θεὸς αἰὲν ἐφιμείροιτο κελεύθων.
οὐδ' ὀλοοῖς θραύοιτο πεσὼν περὶ ῥήγμασι γαίης,
οὕνεκά οἱ παλάμην βασιλεὺς ἐπίκουρος ἐρείδει.
πρόσθε νέος γενόμην, νῦν αὖτέ με γῆρας ἱκάνει,
οὐδ' ἐπιδευόμενον θεοτερπέα πάμπαν ἀνέγνων,
οὐδέ οἱ ἑλδομένην γενεὴν ζωαρκέος ἄρτου.
οἰκτείρειν δεδάηκε, πανημέριός τε δανείζειν,
καί οἱ καλλιπέτηλος ἐπ' εὐλογίῃ σπόρος ἔσται.
φεῦγε κακορραφίην, ἀγαθῶν δ' ἐμπάζεο ἔργων,
καὶ χθόνα ναιετάοις· ὅτ' ἄναξ θέμιν ἀμφαγαπάζει.
οὐδὲ σφωϊτέρους ὑπερόψεται ἀθλητῆρας.
ἀθανάτου φρουροῖντο διηνεκέεσσιν ἀρωγαῖς.

αὐτὰρ ἀθεσμοσύνῃ μεμηλημένοι ἐξελάοιντο,
φῦλά τε δυσσεβέων ἀπολοίατο νηλεοθύμων.
εὐδικίης θεράποντες ὅλην κτησαίατο γαῖαν,
καί μιν ναιετάοιεν ἀπερμάντοισι χρόνοισι.
θείην εὐσεβέος σφίσιν στόμα πάντοτε μέλψει·
γλῶσσα δ' εὐδικίην βασιλήϊον ἐξαγορεύσει.
θεσπεσίου φορέει κραδίην ἐγκύμονα θεσμοῦ.
οὐδέ οἱ ἴχνια πάγχυ παραβλάπτοιτο πεσόντι.
εὐδικίης θεράποντα λίην ποτιδέρκετ' ἀλείτης,
καί μιν ὑπερμενέως ἐπιμαίεται ἐξεναρίζειν·
ἀλλ' οὐχ οἱ παλάμῃσι θεὸς λείψει μιν ἐέλδωρ,
οὐδὲ δικαζόμενον νίκης χατέοντα μεθήσει.
τέτλαθι παμβασιλῆα, φύλασσε δὲ τοῖο κελεύθους,
καί σε μεταχρόνιον κλήρου χθονίοιο τελέσσει·
φῦλα καταφθιμένων ἀλιτήμονα θηήσαιο.
εἶδον ἐφ' ὑψίστων ἀναειρόμενον κακοεργὸν,
πολλὸν ὑπὲρ λιβάνοιο θυώδεος ὑψόθι κέδρων,
δύσμορον· ἀλλά μιν οὐκέτ' ἐπεφρασάμην παροδεύων,
οὐδέ μοι αὐτό οἱ οὖδας ἐφαίνετο μαστεύοντι.
μειλιχίην φούρησον, ἵν' εὐθέα πάντα νοήσῃς.
ὡς ἀγαθ' εἰρήνης ὑποφήτορι λείψανα μίμνει·
πανσυδίη δ' ἀθέμιστος ἀποφθείροιτο γενέθλη.
δυσσεβέων φθινύθοιεν ἀδευκέϊ λείψαν' ὀλέθρῳ.
ἀλκῆεν δ' ὁσίοισι φάος βασιλῆος ἐτύχθη,
καί σφισι πειρομένοις ταχὺς ἵξεται ἀσπιδιώτης,
ἀθανάτων ἐπίκουρον ἀεὶ σφίσι χεῖρα ἰταίνων·
δευομένοις τ' ἀδίκοιο βίης ἀπολύσετ' ἀλιτρῶν·
ἐκ δὲ κακῶν σώζοιντο μεμηλότες ἐλπίδι θείῃ.

Ψαλμὸς λζ.

Μιμνήσκων παθέων βροτέων Δαβίδος ἀμύμων
ὧν πάθε, καὶ παθέων πανυπέρτερος ἔσκε πεπινθὼς,
ἀμφὶ τελικοσὶν μέλος ἕβδομον ἴαχε μέτρων.

ΜΗ με τεὸς βαρύμηνις ἀκήεατι θυμὸς ἐλέγξῃ,
μηδέ με παιδεύσειε τεὴ πολυώδυνος ὀργή·
οὕνεκ᾽ ἐμοῖς μελέεσσι τεοὶ κατέπηχθεν ὀϊστοί·
καί σευ ὅπως δηΐην μοι ἐπεσκείξας χέρα.
ὣς κ᾽ ἐμὸν ἐξαπέτασσε δέμας σέο μηνίσαντος·
ἢ πόθεν ὀστέοισιν ἐμοῖς ἀνάπαυμα φανείη,
πάντοθεν ἀμπλακίῃσιν ἐλαυνομένῳ συχνῇσιν.
δυσσεβίαι καθύπερθεν ἐμεῦ βεβάασι καρήνου,
φόρτῳ ἐπαυχενίῳ καὶ ἐπαχθέϊ εἰσὶν ὁμοῖαι.
ἀφροσύνη μώλωπες ὀδωδότες ἀμφί μ᾽ ἔσηφθεν.
δείλαιος γενόμην κατὰ δ᾽ αὐχένα πάντοτ᾽ ἐκάμφθην,
ἀσχάλλων κακότητι πανημέριον ἧνον οἶμον·
οὕνεκα μοὶ κατέρυκεν ἀπείρατα πάγνια θυμόν.
οὐ μὲν παυσωλὴν ὀδύνης δέμας οἶδεν ἑλέσθαι,
εἰμὶ λίην χθαμαλὸς βεβολημένος ἄλγεσι νούσου,
ναιτήρης κραδίης ὠρυόμενος στοναχῇσιν·
ἄφθιτε δὴ ἐμὸν αὐτὸς ἐποπτεύσειας ἔελδωρ,
οὐδέ σε νωΐτερη στοναχὴ λάθεν εἰδότα πάντα.
ὠρίνθην κραδίην, μελέων δὲ ἀπεχάζετο κῖκυς·
ὀφθαλμῶν δ᾽ ἐσάπιον ἐμῶν ἐξέφθιτο φέγγος.
ἄντα φίλοι πρόβλην το, πόδας δ᾽ ἔστησαν ἑταῖροι.
οἱ δέ μευ ἆσσον ἰόντες, ἀπόπροθι νοσφίζοντο·
ἀ, με τόσσην βιάοντο φίλον διζήμενοι ἦτορ·
ἀ, πῶς μαψιδίως λάλεον κακὰ μαστεύοντες,
θήγοντες δολίοισι πανημέριον αἴσχεσι γλώσσας.

αὐτὰρ ἐγὼ γενόμην ὡς οὐκ ἀΐοντι ἐοικώς·
οἷά τε παντοίων ἐπέων ἀδάητος ἐών τις,
παντοίης ἀκοῆς ἀδαήμονι φωτὶ ἐοικώς,
ὅστε διὰ γλώσσης προφέρειν οὐκ οἶδεν ἐλέγχους.
ἤπις ἐμὴ λίτομαι, σὺ δέ μευ καλέοντος ἀκούσαις.
εἶπα γὰρ ἀντιβίοισιν ἐγὼ μὴ χάρμα γενοίμην·
κινήσαντί μοι ἴχνος ἐπέχραον ὑβριστῆρες.
ἡμέτερον κρυεροῖσι δέμας μάστιξιν ἑτοῖμον·
οὐδέ μευ ὀφθαλμῶν ἀπολείπεται αἰὲν ἀνίη·
δυσνομίην ἐρέων οὐ λήσομαι ἀμπλακιάων.
δυσμενέες θαλέθοντες ἐμεῦ κρατερώτεροί εἰσι·
καί με περιπλήθουσιν ἐπεχθαίροντες ἀθέσμως,
οἵ τ' ἐμοὶ ἀντ' ἀγαθῶν κακοεργία μισθὸν ἔδωκαν,
καί με δίκης τὴν ἔελδον ἐπεσβολίῃσιν ἔβαλλον.
μή μευ ἀποσταίης πανεπίσκοπε, μηδὲ μεθήης,
πέμπε μοι ἄφθιτε, πέμπε τεὴν ἐπίκουρον ὀπωπήν.

## Ψαλμὸς λη'.

Δαβίδου κλυτὸς ὕμνος ὅτ' Ἰδιθοῦμος ἄειδεν
ἀμφὶ τελικοσὸν ὄγδοον ἡδὺ μέλος.

Ἡμετέρην ἀπάνευθε κακῶν ὁδὸν εἶπα φυλάξω,
γλῶσσαν ἀτασθαλίη μευ ἐπὴν πολύμυθον ὀρίνῃ.
ἡμετέροις φυλακὴν εὐρέα χείλεσι θῆκα,
θωρηχθεὶς ὅτε δή μοι ἀτάσθαλος ἀντιφερίζῃ·
κωφὸς ὅπως χθαμαλός τ' ἀγαθοῖς σίγησα μεμηλώς·
εὐναθὲν δέ μοι ἄλγος ἀνέγρετο δεύτερον αὖθις.
ἔνδοθι θυμὸς ἐμὸς φλογερῷ θερμαίνετο πυρσῷ,
ἐν δ' ἄρ ἐμῇ μελέτῃ καυθήσεται ἀκάματον πῦρ.
εἶπα μάκαρ βιότοιο φίλην φράσον ἄμμι τελευτήν.
ἔννεπέ μοι ζωῆς ὁπόσον θέσπισας ἀριθμόν,

ὄφρα διαγνοίην τίνυ μοι περιλείπεται ἄλλο.
ἤματα δή μοι πάντα παλαίτατα θῆκαο τιμῶν,
καὶ μάλα ῥίζαν ἐμῆς βιοτῆς ἀχρήϊον ἔγνως.
πάντων μαψιδίως μερόπων ζώοισι γενέθλαι,
ἔμπα γεμῶν ἄνθρωπος ὁμῶς δαιδάλματι βαίνει,
μαψιδίως κατὰ θυμὸν ὀρινόμενος πεφόρηται.
ἀγνώσει τίνι πάγχυ πολὺν βίοτον ξυναγείρει.
ἦρ' οὐκ ἐλπὶς ἐμὴ βασιλεὺς καὶ πύργος ἐτύχθη;
πὰρ δ' αὐτοῦ βιότοιο λάχον φυσίζωον ἔρμα.
πασάων βασιλεῦ μ' ἀπολύσαι ἀμπλακιάων·
ἀνδράσι μ' ἀφραίνουσιν ἐλεγχέα μῶμον ἔδωκεν.
ἔτλην κωφὸς, ἄναυδος, ἐπεὶ σύ με τοῖον ἔτευξας.
σεῖο μάκαρ μάστιγας ἐμεῦ ἄπο πάμπαν ἐλάσσαις.
σεῖο γὰρ εὐσθενέος παλάμης ὑπὸ θυμὸν ἀχεύω.
ἄνδρ' ὑπὲρ ἀμπλακίης ὀλοῆς παίδευσας ἐλέγχων,
καί οἱ θυμὸν ἔτηξας ἀμήχανον ἶσον ἀράχνῃ.
ζωὴ μαψιδίη μεροπηΐδος ἐστὶ γενέθλης.
εὐχωλῆς ἐπάκουσον ἐμῆς, ἐπικέκλυθι δ' ἀρῆς,
μηδέ με δακρυχέοντα μάκαρ σιγῇ παρελάσσῃς·
εἵνεκ' ἐγὼ ξεῖνος γαίης ἅμα καὶ μετανάστης,
καὶ τοκέεσσιν ἐμοῖσιν ὁμῶς μεταδήμιος αὔτως.
ἄμπαυσον καμάτων με, ὅπως φίλον ἦτορ ἀγείρω,
πρίν με μολεῖν ὅθεν οὐκέτι δὴ παλινάγρετον ἐλθεῖν.

Ψαλμὸς λθʹ.

Εἴνατον ἐσθλὸν ἄεισμα, τελεσκοστῇ περὶ μολπῇ
φθέγξατο Δαβίδος τερπόμενος κιθάρῃ.

Τετληὼς ὀπίθεν θεὸν καὶ ἀρωγὸν ἐδέγμην·
ἡμετέρην δ' ὑπέδεκτο πολύλλιτον οὔασιν εὐχήν·
ἀνέσπασε δ' ἐκ βόθρου, καὶ τέλματος ἰλυόεντος.

αὐτὰρ

αὐτὰρ ἐμὰς πέτρῃ σταθερῇ στηρίξατο πέζας,
ἴχνος ἐᾶς ἐν ἀταρπιτοῖς ἐμὸν ἡγεμονεύων.
χείλεσιν ἡμετέροισιν ἑὴν ὑπεθήκατο μολπήν,
νωϊτέρῳ κλυτὸν ὕμνον ἐρισθενέτῃ βασιλῆϊ.
δειδιότες δέρκοιντ', ἔλποιντό τε ποιμένα πολλοί.
ὄλβιος ᾧ τε θεοῦ ὄνομα κλυτὸν ἐλπὶς ἐτύχθη,
λύσσης ψευδαλέης καὶ μαψιδίης δίχα βουλῆς.
πολλά τοι ἐκτετέλεσται ἄναξ περιθαμβέα ἔργα·
οὐδέ σέθεν βουλῇσιν ἔφυ πανομοίϊος ἄλλος.
ἀγγέλλων κατέλεξα τά περ πλέον εἶεν ἀριθμοῦ,
δῶρ' ὑπὲρ ἀμπλακίης, θυσίην δ' ἠρνήσαο πᾶσαν·
αὐτὰρ ἐμοὶ βροτέης τεκτήναο σάρκα γενέθλης.
οὐ πυρὶ καρφομένην προσεδέξαο πάγχυ θυηλήν·
τοὔνεκα δεῦρ' ἱκόμην τελέσαι πάτερ ὅττι κελεύεις.
ἀμφ' ἐμέθεν γέγραπται ὑπὲρ βίβλοιο καρήνου,
σὸν τελέσαι μενέηνα μάκαρ πραπίδεσσιν ἐέλδωρ·
καὶ σεῦ μεσσατίῳ ἐθέμην ἐν στήθεϊ θεσμόν.
εὐδικίην κλισίῃ πολυηχέϊ πέφραδον ἄνδρες·
οὐδέ ποτ' ἀγγελίης ἐμὰ χείλεα πάμπαν ἐρύξω·
αὐτὸς ἐμὴν πραπίδεσσι δικαιοσύνην δεδάηκας.
οὐ σεῦ ἀληθείην σκοτίῃ φρενὶ θῆκα καλύψας·
ἀμφαδίην δ' ἀγόρευσα ἀλεξίκακον σέο φέγγος·
φῦλα τεὸν κλισίης ἔλεον καὶ ἀληθέα βουλήν·
τοὔνεκα μηδὲ σὺ νόσφιν ἀρηγόνα χεῖρα πεδήσῃς,
θάλπε τεῷ μ' ἐλέῳ τε ἀληθεΐ πάντοτε βουλῇ·
οὕνεκα μ' ἄλγος ἔχει περιώσιον ἔνθα καὶ ἔνθα·
ἔφθασαν ἀμπλακίαι με, φάος δέ μευ ἔκρυφεν ὄσσων.
καί μευ πλειότεραι κεφαλῆς ἐγένοντο κομάων,
ἐκ δ' ὀλιγηπελίης μελέων ἐξέπτατο θυμός.
ἀλλ' ἐπιδευομένῳ μοι ἑκὼν ἐπιτάρροθος ἔλθοις,

νωιτέρην ὁδοῖσιν ἐποτρύνουσα ἀρωγήν.
αἶσχος ἔχοι ὅσοι ἦτορ ἐμὸν μεμάασιν ὀλέσσαι·
στρεφθείη μωμητὸς, ὅ μοι κακὰ βυσσοδομεύει·
αὐτίκ' ἔχοι τις δ' αἶσχος ἐμῇ κεχαρηότας ἄτῃ.
χάρμα καὶ εὐφροσύνη ὅσιον γένος ἀμφιπολεύοι,
πάντοτε βαζόντων μεγαλαυχέα δῶρα θεοῖο,
ὁσσάκι οἱ ποθέουσιν ἀλεξίκακον σέο φέγγος.
ἀμφ' ἐμεῦ ὁρμαίνοις πτωχοῦ μάκαρ ἠὲ πενιχροῦ,
μήποτε δηθύνειας ἐμοὶ καλέοντι παρεῖναι.

## Ψαλμὸς μ΄.

Κόσμον τεσσαρακοστὸν ἄναξ Δαβίδος ἔμελψεν.

Ὄλβιος ὃς πτωχοῦ περικήδεται ἠδὲ πενιχροῦ·
οὔ μιν ἀναγκαίῳ ὑπερόψεται ἤματι ποιμήν.
φρουρὸν ἔχοι βασιλῆα βίου θ' ἅμα κηδεμονῆα,
καὶ θεόθεν μακάριστος ὅλην ἀνὰ γαῖαν ἀκούσοι·
οὐδέ μιν ἀντιβίοισιν ἕλωρ παλάμῃσι μεθείη,
ἀλλὰ καὶ ἐν κακότητος ἄναξ λεχέεσσιν ἀρήγοι·
δέμνια οἱ μετέθηκεν, ἔλυσε δὲ κήδεα νούσου.
αὐτὸς ἄναξ ἐβόησα τεὴν ἱκετὴν ἀρωγήν·
ὄφρα μευ ἐξακέσαιο κακῶν ἀλιτήμονα θυμόν.
κήδεά μοι φράσσαντο κακοὶ καὶ ἀνάρσιοι ἄνδρες,
εὐχόμενοι, πότε μευ βιότου μνημήϊον ἔρροι·
νίσσετο μαψιδίως ὁρόων ματίην τ' ἀγορεύων·
ἀμπλακίην ξυνάγειρεν ἐμῷ ζηλήμονι θυμῷ,
ἐκτὸς ἰὼν ἀγόρευεν ἐμοὶ ξύμπαντας ἀγείρων·
πάντες ἐπιψύζεσκον ἀπεχθέες ἀμφ' ἐμοὶ ἄνδρες·
ἀμφὶ δέ μοι φράζοντο κακῶν βαρυτήμονα φόρτον,
μῦθον δυσνομίῃ πεπυκασμένον ἐντύνοντες·
μὴ κατακοιμηθεὶς τις ἀεὶ κατὰ νήγρετον εὕδοι.

εἰρήνης βροτὸς οὗτος ἐμεῖο γὰρ ἤπιος ἐτύχθη·
ὃν τρέφον ἐχθρὸν ἔχον, πτέρνης δέ με μείονα θῆκεν.
ἀνστήσας μ' ἐλέησον, ἵνα σφίσιν ἄξια δοίην.
τῆς ἀγανοφροσύνης ἔνθεν μάκαρ ἴδρις ἐτύχθην.
ἐφρασάμην, ὅ μοι οὔτι μάτην κεχαρήσεται ἐχθρός·
οὕνεκεν ἀκακίης μου ἄναξ ἐπίκουρος ἀνέστης,
καί με διηνεκέως σεῦ ἐνωπαδὸν ἐρρίζωσας.
αἰνετὸς αἰὲν ἔφυ θεὸς ἄφθιτος Ἰσραήλου·
αἰώνων αἰῶνας ἀεὶ πανυπέρτατος εἴη.

## Ψαλμὸς μα'.

Εἰς πινυτὴν ποτὲ παισὶν ὑπερθύμοιο Κοραίου
κῶμος τεσσαρακοστὸς ἔνι καὶ πρῶτος ἀοιδῆς.

Ἥύτε πηγαίων ὑδάτων κεμὰς ἱμείρουσα,
ὣς δ' ἐμὸς ἱμείρει σεῦ ἄναξ πανυπέρτατε θυμός.
ζωὸν ἐμὸν δίψησε καταβρῶξαι θεὸν ἦτορ·
τίς χρόνος οὗτ' ἀναφανδὰ θεὸν βροτὸς ὄψομαι ὄσσοις.
ἤματ' ὁμοῦ καὶ νύκτας ἔχον γόον οἷά περ ἄρτον,
πάντοτε βαζόντων, πῆ δὴ θεὸς ἔπλετο σεῖο.
τῶν δὲ παρεμνήσθην, προχέων δ' ἐμὸν ἀμφ' ἐμὲ θυμόν,
οὕνεκα θνητὸν κλισίης διελεύσομαι οὖδας,
ἔνθεν ἕως βασιλῆος ἐπουρανίοιο μελάθρων,
αἶνον τερπωλῆς τε μετὰ κλυτὸν ἦχον ἑορτῆς.
θυμὲ τί δηθύνεις, τί δέ μοι νόον ἔνδον ὀρίνεις·
ἤπιος τοι θεὸς ἔστω· ἐγὼ δέ οἱ αἶνον ἀείσω.
αὐτὸς ἐμῆς πέλει πανεπίσκοπον ἄγκαρ ὀπωπῆς·
αὐτόματος δεδόνητο μετὰ φρεσὶ θυμὸς ἐμῆσι.
τοὔνεκ' ἄναξ καλέσω σε Ἰορδανίης ἀπὸ γαίης,
ἐκ τ' Ἑρμωνιίμου, τὸ δέ τοι ὄρος ἔπλετο τυτθόν·
ὀρφναίη τίς ἄβυσσος ἀνηΰτεσκεν ἄβυσσον,

ῥηγνυμένων ξυνιοῦσα τεῶν ὑδάτων ἐπιωγῇ.
κύματά σευ μετ' ἔμ' ἦλθε, βαρύνε δὲ μέρμερα πάντα.
ἦμαρ δ' ἄναξ ἔλεον κέλεται καὶ νυκτὶ φαεινῇ.
εὐχωλὴ παρ' ἐμεῖο θεῷ βασιλῆϊ βιώνης·
εἶπα θεῷ, τί μευ ὧδε λελασμένος αἰὲν ἐτύχθης.
τίπτε κατηφιόων περιζανίσσομαι ἔνθα καὶ ἔνθα,
ἀνδρὸς δυσμενέος με καταθλίβοντος ἀνίῃ.
δυσμενέες νείκεσσαν ὅτ' ὀστέα πάντα ἐάχθεν,
πάντοτέ μοι βάζουσι, θεός νυ ποῦ ἔπλετο σεῖο.
θυμὲ τί δηθύνεις, τί δέ μοι νόον ἔνδον ὀρίνεις·
ἐλπίς τοι θεὸς ἔστω, ἐγὼ δέ οἱ αἶνον ἀείσω·
αὐτὸς ἐμῆς τελέθει πανυπέρτατον ἄγκαρ ὀπωπῆς.

## Ψαλμὸς μβʹ.

Μείλιχον ἀμφ' ἱερῷ τόδε καὶ ἐν τεσσαρακοστῷ,
Δαβίδος πινυτὸς δεύτερον ἦσε μέλος.

ΚΡῖνον ἄναξ ὅσα δή μ' ἄδικον λωβήσατο φῦλον·
ἀνέρος ἐκ δολεροῖο καὶ ἐξ ἀδίκου με σαώσῃς·
κάρτος ἐμόν, τί με σεῖο τόσον μεθέηκας ἄνευθε·
τίπτε κατηφιόων μεταινίσσομαι ἔνθα καὶ ἔνθα,
ἀνδρὸς δυσμενέος με καταθλίβοντος ἀνίῃ.
φέγγος ἀληθείῃ τε σέθεν περιλαμπέα πέμποις,
οἷσι φαεινόμενος τεὸν εἰς ὄρος ἵξομαι ἁγνὸν,
καὶ σέο κυδίστοισιν ὁμέστιος εἰμὶ μελάθροις.
βωμὸν ἀγακλήεντα θεοῦ μετελεύσομαι ἤδη,
ὅς μευ εὐφρήνειε χάριν νεοθηλέος ἥβης.
εὐκελάδῳ φόρμιγγι μάκαρ τεὸν αἶνον ἀείσω.
θυμὲ τί δηθύνεις, τί δέ μοι νόον ἔνδον ὀρίνεις·
ἐλπίς τοι θεὸς ἔστω, ἐγὼ δέ οἱ αἶνον ἀείσω·
αὐτὸς ἐμῆς τελέθει πανεπίσκοπον ἄγκαρ ὀπωπῆς.

## Ψαλμὸς μγ΄.

Εἰς πινυτὴν τελέεσσιν ὑπερθυμίοιο Κοραίου
κῶμος ὅδε τείρατος καὶ ποταρακοσὸς ἐτύχθη.

Οὔασιν ἡμετέροις ἠκούσαμεν ἄφθιτε ποιμήν,
ἄμμι φίλοι τοπρόσθεν ἀφηγήσαντο τοκῆες
ἔργον ὅπερ τέκτηνας ἐν ἀρχαίῃσι γενέθλαις.
χεὶρ σέθεν ὤλεσε φῦλα, καὶ ἐρρίζωσε γονῆας.
λαοὺς ἐξαλάπαξας, ἑῆς δ' ἐξήλασας αἴης.
οὐδὲ γὰρ ἐκληρώθεν ἑῷ πάρος ἄορι γαῖαν,
οὐδὲ μενεπτόλεμος δηΐων ἐσάωσε βραχίων,
ἀλλὰ τεὴ παλάμη, καὶ σῆς μέγα φέγγος ὀπωπῆς,
οὕνεκα σῷ θυμῷ πεποιθὼς σφέας ἤθελες ἴσχειν.
αὐτὸς ἄναξ ἐμός ἐστι, θεὸς δέ μευ αἰὲν ἐτύχθης,
ὅς τις Ἰακώβῳ ζωῆς ἐπετείλαο φέγγος.
σοὶ πίσυνοι κεράεσσι βίην ἀναείξομεν ἐχθρῶν,
οὔνομα σὸν καλέοντες, ἐπερχομένοις γελάσαιμεν.
οὐ γὰρ ἐφ' ἡμετέρῳ μεγαλίζομαι ἐλπίδι τόξῳ,
οὐδὲ κακῶν τανύηκες ἄορ μ' ἀπάνευθε σαώσοι.
αὐτὸς ἄναξ τ' ὠθούντων ἄμμ' ἀπελύσαο ποιμήν·
μωμητὰς δ' ἀνέφηνας ἀπεχθέας ἀνέρας ἡμῖν.
ἠμάτιον κλέος ἄμμι παρ' ἀθανάτῳ βασιλῆϊ,
καὶ σέο νωλεμέως ἀναμέλψομεν οὔνομα θεῖον.
νῦν δ' αἶσχος κατέχευας ἀπωσάμενος τόσον ἡμέας,
οὐδὲ κορυσσομένοις μετανίσσεαι ὡς πρὶν ἀρωγός.
στρεφθέντες κρυερῶν γεγενήμεθα μείονες ἐχθρῶν,
ἐχθομένοις θ' ἅρπαγμα παραὶ ποσὶν εἰμὲν ἑτοῖμον.
ἡμέας οἷά τε μῆλα μετ' εἰλαπίνῃσιν ἔδωκας,
ἐκ δ' ἐκέδασσας ἄνευθε πολυσπερέας κατὰ δήμους.
ἀπρίατον ἀντάποινον ἄναξ ἀπεπίσαο λαόν·

οὐδέ τις ἦεν ἀριθμὸς ἀμοιβαίης χάριν ὠνῆς.
γείτοσιν ἄμμε ὄνειδος, ἅπασι πέριξ τε γέλωτα,
ἔθνεσιν ἄμμι λάλημα πολύθροον ἐξανέφηνας·
καὶ λαοῖς ψογεροῖς κεφαλῆς κίνημα γελοῖον.
ὀφθαλμῶν μὲν ἔναντα πανημαδὸν ἔσσυτ' ἔρευθος,
καί με λίην ἐκάλυψεν ἀμειδέος αἶσχος ὀπωπῆς,
ὑβριστῆρος ὁμοῦ καὶ ἐλεγχέος ἀνέρος αὐδῇ,
ὄμμασι δυσμενέος καὶ ἐμῆς φύζης ἐλατῆρος.
ἀλλ' οὐ τοσσατίων λαθόμεσθα σεῦ εἵνεκα ποιμήν,
οὐδὲ τεῶν μνῆμα παρήλθομεν ἁρμονιάων,
οὐδὲ σέθεν κραδίαν ἐστρέψαμεν ἔκποθι πάμπαν·
ἡμείων δ' ἀπάνευθε τεὰς ἔκλινας ἀταρπούς.
ἀδρανέας δαπέδοισι κακῶν τεκτήναο νούσων,
καὶ σκιερῇ θανάτοιο κατεκρύφθημεν ὀμίχλῃ·
εἴποτε νωϊτέροιο λελάσμεθα πάγχυ θεοῖο,
εἰ θεῷ ἡμετέρας παλάμας ἐπετάσσαμεν ἄλλῳ·
ἦ ῥ' οὐκ ἄφθιτος αὐτὸς ἀνιχνεύσει τάδε πάντα;
αὐτὸς γὰρ βροτέης κραδίης κευθμῶνας ἀνέγνω·
σεῖο χάριν θανάτῳ δεδμήμεθα πάντοτε ποιμήν·
κτεινομένοις γινόμεθα βίην μήλοισιν ὁμοῖοι.
ἔγρεο παμβασιλεῦ, τί νύ μοι τόσον ὕπνον ἀωτεῖς·
ἔγρεο, μηδὲ σέθεν βλεφάρων ἀπὸ νόσφιν ἐλάσσῃς.
τίπτε τεὴν ἔστρεψας ἀγακλήεσσαν ὀπωπὴν
μόχθων θ' ἡμετέρων, πενίης τ' ἀπελήσαο πάμπαν.
ἡμέτερος κονίῃσι πανείκελος ἔφθιτο θυμός.
νηδὺς δ' ἐγχήεσσα δύῃ προσελήλαται αἴῃ.
ἔγρεο παμβασιλεῦ ἐπαρηγόνα χεῖρα τιταίνων·
ῥύσαο δ' ἀρρήκτοιο σέθεν χάριν ἡμέας ἄτης.

## Ψαλμὸς μδ'.

Τηλυγέτοιο θεοῖο γονὴν μέλπουσιν ἀγητὴν
ἔργοις υἱέες αὖθις ἀμειβομένοισι Κορᾶε.
οὗτος τεσσαρακοστὸς ὁμοῦ καὶ τέτρατος ὕμνος.

Ἐσθλὸν νωΐτερη κραδίη τεκνώσατο μῦθον·
ἔργ' ἐμέθεν βασιλῆϊ περιφραδέως ἀγορεύσω.
γλῶσσαν ἔχω καλάμῳ ὀξυγράφου ἀνδρὸς ὁμοίην.
κάλλεϊ δ' ἀστράπτεις βροτέης περὶ δῖα γενέθλης·
ἐκκέχυται πινυτοῖσι χάρις περὶ χείλεσι σοῖσι.
Τοὔνεκά σοι θεὸς αἶνον ἀγήραον αὐτὸς ἀνῆψεν.
ἄλκιμε σὸν τανύηκες ἄορ περιβάλλεο μηρῷ,
κάλλεϊ σῷ πίσυνος, καὶ ἀγακλέϊ θάρσυνος ὥρῃ·
ἐντανύων δ' ἴθυνε καὶ ἀρχεύων βασίλευε,
εἵνεκα μειλιχίης ὁσίης καὶ ἀληθέος ἔργου.
σὴ σέο δεξιτερὴ περὶ θαύμασιν ἡγεμονεύσει.
ἀκήεντες ἔασι τεθηγμένοι αἰὲν ὀϊστοί.
λαοὶ πολλοὶ ἔνερθε σέθεν πλήξοισι πεσόντες,
δυσμενέων βασιλῆος ἐπὶ στέρνοισιν ἑτοῖμοι.
νωλεμέως ἄφθαρτε ἀμαιμάκετος σέο θῶκος,
ἰθυπόρον σκῆπτρον, σκῆπτρον βασιληΐδος αἴσης.
εὐδικίην φιλέεις, στυγέεις δ' ἀθεμίστιον ἔργον·
Τοὔνεκά σοι θεὸς αὐτὸς ἑὴν περίχευεν ἀλοιφὴν,
χρίσας τερπωλῆς μετόχους παρὰ πάντας ἐλαίῳ,
σμύρνα τε, καὶ στακτὴ, κασίηθ' ἅμα σῶν ἀπὸ πεπλῶν,
ἐκ νηῶν ἐλέφαντος, ὃ καὶ σέο θυμὸν ἰαίνῃς·
θυγατέρες σέο κῦδος ὑπερμενέων βασιλήων,
πέπλοις χρυσοφέεσσι πέλας βασίλεια παρέστη,
εὖ ἀμπεχομένη πυκινοῖς δαιδάλμασι μορφὴν.
κλῦθι τέκος λεύσσουσα, φίλον δέ μοι οὖας ἐρείδοις·

λαοῦ δ' ἐκλελάθοιο τεοῦ, μεγάρων τε τοκῆος·
οὕνεκά σευ βασιλεὺς γεραρῆς ἠράσσατο μορφῆς.
αὐτὸς γὰρ καὶ πρόσθε σέθεν κρατέεσκεν ἀνάσσων,
καί μιν γουνάσσοντο Τύρου μειλίγμασι κοῦραι·
ἀφνειοὶ χθονὸς ὄμμα λιτῆς τεὸν ἱλάσσονται.
ἔνδοθεν εὖχος ἅπαν βασιληΐδος ἔπλετο κούρης,
χρυσείοις ἀμπεχομένη θυσάνοισι κέκασται.
παρθενικαὶ βασιλῆϊ γέρας μετ' ἄνασσαν ἀγέσθων·
καὶ γέρας ἰφθίμης βασιληΐδος εἰσὶν ἑταῖραι.
χρήματος εὐφροσύνης τ' ἀγαθῆς ἐπὶ βάθρον ἀγέσθων,
ὀρνύμεναι μετὰ νηὸν ἐρισθενέος βασιλῆος.
ἀντὶ τεῶν πατέρων υἱοὶ σέθεν ἡβώοισι·
τοὺς δὲ καταστήσειας ὅλης χθονὸς ἡγεμονῆας.
μνησαίμην μάλα σεῖο διηνεκέεσσι γενέθλαις,
ἐς γενεῶν γενεὰς σέθεν οὔνομα καλὸν ἀείσω.
τοὔνεκά σ' ὑμνήσουσι μάκαρ πανυπέρτατε λαοί,
ἔνθεν ὁμοῦ καὶ ἔπειτα καὶ ἀλλήκτοισι γενέθλαις,
ἔνθεν ὁμοῦ καὶ ἔπειτα καὶ εἰς αἰῶνας ἰόντας.

## Ψαλμὸς με΄.

Κῶμος ὑπὲρ κρυφίων, ὧν εἰς φάος ἤγαγε φόρμιγξ
θεσπεσίη, πέμπτος καὶ τεσσαρακοστὸς ἐτύχθη.

Ἀθάνατος θεὸς ἄλκος ἐμὸν καὶ κάρτος ἐτύχθη·
ἀμφιπολευούσῃσι βοηθόος ἡμέας ἄτης.
τοὔνεκεν οὐ πτήξαιμεν ὀρινομένης μάλα γαίης,
οὐδὲ μεταρχομένων ὀρέων ἐν στήθεσι πόντου.
ἠχήεις ῥοθίοισιν ἑοῖς ὀρυμαγδὸς ἀέρθη,
οὔρεα θεσπεσίῳ περὶ κάρτεϊ δινήθησαν.
εὐφραίνει ποταμοῖο θεοῦ πτολίεθρον ἰωή·
ὕψιστος κλισίην σφετέρην ἄχραντον ἔθηκε.

οὐδέποθ' οἱ λήξειε θεὸς περὶ μέσσα θαάσσων,
ἐξ ἠοῦς ἐπίκουρον ἔχει πανεπίσκοπον ὄμμα.
κλῖναν ἀνακτορέαι βελαραὶ, κλονέοντο δὲ φῦλα.
ἤϋσεν διαπρύσιον, δεδόνητο δὲ γαῖα.
ἀρχὸς ἐπουρανίων σθενέων πέλει ἄμμιν ἀρωγός·
αὐτὸς Ἰακώβου πρόμαχος θεὸς ἄμμιν ἐτύχθη.
δεῦτε φίλοι βασιλῆος ἰδώμεθα θέσκελα ἔργα,
ὅσσ' ὑπὸ εὐφόρβου σημήϊα τεῦξεν ἀρούρης.
παύων δηϊότητας ὅλης ὑπὸ αἴτυγα γαίης.
τόξον συντρίψε, καὶ ἀσπίδα θοῦρον ἐάξει,
καὶ θυρεοὺς μαλεροῖο καταφλέξει πυρὸς ὁρμῇ.
φράζεσθε πρόμνοι θεὸς ἄφθιτος οὕνεκ' ἐτύχθη
ἔθνεσιν ὕψιστος καὶ ὅλης καθυπέρτερος αἴης.
ἀρχὸς ἐπουρανίων σθενέων πέλει ἄμμιν ἀρωγός·
αὐτὸς Ἰακώβου πρόμαχος θεὸς ἄμμιν ἐτύχθη.

## Ψαλμὸς μϛ΄.

Τοῦτο μεγασθενέων τεκέων ἐτέτυκτο Κοραίου
μείλιχον ἀμφ' ἕκτῳ καὶ τεσσαρακοστὸν ἄεισμα.

ΠΑίσατέ μοι χέρεσσιν ὁμὸν κρότον ἔθνεα πάντα,
τερπνὴν βασιλῆα θεὸν κελαδήσατε φωνῇ·
οὕνεκεν ὕψιστος φοβερός θ' ἅμα πᾶσιν ἐτύχθη,
γαίης παντοδαποῖς μετὰ πέρμασιν ἐμβασιλεύων.
λαοὺς ἄμμι δάμασσε, ποσὶν δ' ὑπεθήκατο δήμους.
λεξάμενος πόρεν ἄμμι φίλον καὶ ἐννέα κλῆρον·
μοῖραν Ἰακώβοιο θεῷ καταθύμιον αἰεί.
εἰσανόρουσε θεὸς βοόων ἐπινίκιον ὕμνον,
εὐκελάδου σάλπιγγος ἀνέδραμε κοίρανος ἠχῷ.
ἡμέτερον φόρμιγγι θεὸν φορμίζετ' ἀοιδαῖς,
ἡμέτερον βασιλῆα ἑοφαῖς ἀναμέλψατε μολπαῖς.

οὕνεκα κοιρανέει πάσης θεὸς ἄφθιτος αἴης.
μέλψατέ μοι πινυτῇ κραδίῃ καὶ ἐχέφρονι μύθῳ.
ἀθάνατος μέγα κάρτος ὅλων κτεατίσσατο λαῶν,
αὐτὸς ἐπ' ἀχράντοιο θεὸς θώκοιο θοάσσει.
ἡγηταὶ ξυνάγερθεν ὁμῶς θεῷ Ἀβραάμου,
αἴπα θεοῦ θώρηχθεν ὑπερβασίῃ χθονὸς ἀρχοί.

Ψαλμὸς μζ.

Υἱοῖς Κορὲ τερπνὸν ἐγράφη μέλος·
εἰς δευτέραν δ' ἔμελψαν αὐτοὶ σαββάτων·
τὸ δ' ἕβδομον τεσσαρακοστὸν ἦν ἅμα.

Αἰνετὸς ἀθάνατος, καὶ δὴ μέγας ἔπλετο μοῦνος,
ἄστυ περὶ σφέτερον καὶ ὄρος παναγήρατον αἰεί.
πάντοθεν εὐρυόων χάρμ' ἐν χθονὶ πουλυβοτείρῃ.
οὔρεά τοι Σιῶνος ἀπὸ πλευρῆς βορέαο·
ἄστυ πολυκλήεν μεγαλοσθενέος βασιλῆος,
ἀθάνατος πύργοισιν ἑοῖς ἀείδηλος ἐτύχθη·
εὖτ' ἐπιδευομένης ἐπιτάρροθος ἵξεται αὐτῆς,
γαίης ἦλθον ἅπαντες ἀγειρόμενοι βασιλῆες
ὄμμασι δερκόμενοι κραδίῃ περιθάμβεον αὐτοί.
ὀρνύμενοι κλονέοντο, τρόμος δ' ἐπελήλυθε πάντας.
εἴκελα τικτούσῃ πυκινὰς ὠδῖνας ἕλοντο·
ἠὲ βίῃ ὅτε νῆας ἕλοι Θαρσῖδος ἀήτης.
οὐκ ἄρα βάξις ἔην· μύθοισι γὰρ ἔργον ὀπηδεῖ,
ἀμφὶ θεοῦ κλυτὸν ἄστυ, θεοῦ σθενέων βασιλῆος.
αὐτός οἱ ἀστυφέλικτον ἐπήξατο πυθμένα ποιμήν.
σῶν λαῶν ἀνὰ μέσσον ἄναξ ἐλεητὺν ὀπάζοις.
ἠύτε δ' ἀμφιβόητον ἄναξ τεὸν οὔνομα μίμνει·
ὣς δ' ἔσω τεὸς αἶνος ὅλης ἐπὶ πείρατα γαίης.
δεξιτερὴ βέβριθε δικαιοσύνης σέο ποιμήν.

κλεινὸν ὄρος Σιῶνος ἐϋφροσύνῃσι μελέσθω.
παῖδες Ιουδαίας ἐρατῆς πολυγηθέες ἔστων
εὐαγέων ἄγχαιντε πέων χάριν εὐνομιάων.
στεύσατέ μοι Σιῶνα περισταδὸν ἀμφιβαλέσθαι,
καί οἱ ὑπὲρ πύργων λιγέως ἀγγείλατε μύθους.
ἀμφὶ δέ μιν κραδίας καὶ ἐῢ περὶ κάρτεϊ θέσθε·
ἕρκεα δὲ σφετέρου κράτεος διαμοιρήσασθε,
ὄφρα δέ τις γενεῇσιν ἐπεσσομένῃς ἀγορεύσῃ·
οὕνεκεν αὐτὸς ἀεὶ βασιλεὺς ἅμα καὶ θεὸς ἐστὶν
ἐκ προτέρων γενεῶν ἐπ' ἀπερμαίτοισιν αἰώνων,
πτολεμέως ἐν πᾶσιν ἀγήραος ἄμμε νομεύσει.

Ψαλμὸς μη'.

Ηδὺ μέλος θνητοῖσιν ἐμέλπετο παισὶ Κοραίου,
τεσσαράκοστὸν ὁμῶς τε καὶ ὄγδοον ἕλκει ἀριθμόν.

ΚΕκλυτε μυρία φῦλα, τά μοι νόος ἔνδοθι κεύθει.
γαίης ἐνναετῆρες ἐμοῖς μελέεσσι μελέσθων,
ἄνδρες γηγενέες, βροτέης θ' ὅσα φῦλα γενέθλης,
ἀκτέανοί τ' ἄναμιξ καὶ ὅσοις μένει ἄσπετος ὄλβος·
νωΐτερον σοφίην ἱερὸν στόμα μυθολογεύσει.
ἡμετέρης κραδίης μελέτη πινυτὴν ἀγορεύσει.
ποικίλον ἀμφ' αἶνον ἀριήκοον οὔας ῥέισω·
ἐκ λιγυρῶν μελέων πυκινῆς διαμείψομαι οἴμης.
τίπτ' ἔτι ῥιγεδανὸν τρομέω καὶ ἀμήχανον ἦμαρ·
πτέρνης ἀμπλακίη με δυσήνιος ἀμφιπολεύσει.
ἀνδρες ἀφνειοὶ κρατερῷ περὶ θάρσυνοι ὄλβῳ,
οἷσιν ἐπὶ κτεάτεσσιν ὑπέρβιος ἔπλετο θυμός.
οὐχὶ κασίγνητος μερόπων ἀναφαίνει ἄποινον.
οὐχὶ θεὸν γενετὴν ἱλάσκεται εἵνεκα κόσμου,
τιμὴν ἀθανάτης ψυχῆς πινυτὴν ἀποτίσας.

νωλεμέως μόχθησε, βίος δέ οἱ οὔποτε λήξει.
εὖτε σοφοὺς θνήσκοντας ἴδοι, κακότητα πατήσει·
ἄφρων ἀφραδέως καὶ νήπιος εἰς ἓν ὀλεῖται·
ἀκλήροις ὄλβον δ᾽ ἑτέροις λείψουσι μελάθρων,
τύμβοις ὥστε μέλαθρα διαμπερὲς οἰκήσουσιν·
ἣν ἑκέως καλύβησιν ἑὰς φθίσουσι γενέθλας·
ἐκ γαίης ὄνομ᾽ ἔχον, ὅθεν ἤκτοντο δαμέντες.
νήπιος, οὐδ᾽ ἐνόησε βροτὸς γεράεσσι μεμηλώς·
τετραπόδεσσιν ἔικτο, φυλὴν δ᾽ ἠσπάζετο τοίην.
οὐλοὸν ἥδε κέλευθος ἐπὶ σφίσι δίκτυον εἴη·
καὶ τότε δὴ γλώσσῃσιν ἐπαινήσουσιν ἔπεσιν.
ὡς σταθμοὶ μήλοις, ἀΐδην συμφράδμονες εἶλον·
τοὔνεκα πευκεδανὸς θάνατος σφέας ἶφι νομεύσει.
ἰθυνόων δ᾽ ἠῶθεν ὑπὸ ζυγὸν αὐχένα θῆκεν·
εἰν ἀΐδῃ κείνων ἀχρήϊος ἔσσετ᾽ ἀρωγή.
ἦτορ ἐμὸν θανάτοιο θεὸς λύσειεν ἀνάγκης·
μήποτέ μοι πλοῦτον μερόπων περιδείδιθι θυμῷ,
δώρος εὖτ᾽ ἀγαθοῖσιν ἐπιβείσειε μέλαθρον.
οὐ γὰρ ἀποφθίμενος σύμπαντ᾽ ἀΐδηνδε κομίσσοι,
οὐδέ οἱ ἄσπετον εὖχος ὁμῶς καταβήσεται οἴκου·
μοῦνον ἐπὶ ζωοῖσι φίλον σθένος αἰνετὸν ἔσται,
καί σε μάλ᾽ αἰνήσειεν, ὅταν τι οἱ ἐσθλὸν ἀνύσσῃς.
ἀρχαίην πατέρων γενεὴν μετελεύσεται αὔτως.
ὀρφναίην βιότοιο δύην καὶ ἀφεγγέα ναίων.
νήπιος, οὐδ᾽ ἐνόησε βροτὸς γεράεσσι μεμηλώς·
τετραπόδεσσιν ἔικτο, φυλὴν δ᾽ ἠσπάζετο τοίην.

Ψαλμὸς μθ΄.

Δαβίδου ἔνατον καὶ τεσσαρακοστὸν ἄεισμα.

Γαῖαν ὅλην καλέεσκε θεῶν θεὸς, εἰς ἓν ἀγείρας
ἠελίου φαέθοντος ἀπ' ἀντολίης ἐπὶ δυσμάς·
ἐκ Σιῶνος ἑῆ περιλάμπεται εἴδεος ὥρη·
ἀθάνατος μερόπεσσι θεὸς ἀναφανδὰ παρέσται,
οὐδέ τις ἀγνώσσων θεὸν ἔσσεται· οὐ γὰρ ἐάσσει·
τοῖο ποδῶν προπάροιθε δίξεται αἰθόμενον πῦρ·
ἀμφὶ δέ μιν βέβρυχε μέγα σπέρχουσα καταῖξ.
οὐρανὸν ἀστερόεντα πέλας μύθοισι καλέσσει,
καὶ χθόνα πουλυβότειραν ὅπως λαοῖσι δικάζοι.
ἀθανάτῳ θεράποντας ἑοὺς ξυναγείρατε πάντας,
ὅσοι συνθεσίην θυσίης ἐπιστώσαντο·
ὄφρα οἱ ἀγγελέωσι δικαιοσύνην ἐρατεινήν·
οὕνεκα ὑψήεις βασιλεὺς μετὰ πᾶσι δικάζει.
κέκλυθι φῦλον ἐμὸν, λέξω δέ τοι ἣ θέμις ἐστί.
κλῦθί μευ Ἰσραὴλ· σὲ γὰρ περὶ ἄλλα διδάξω·
αὐτός τοι θεός εἰμι, θεὸς δέ σοι αὐτὸς ἐτύχθην.
οὐ νύ σε μαψιδίῃσι θυηπολίῃσιν ἐλέγξω·
σεῖο δὲ καρπουμένην θυσίην ἐπιδέρκομαι αἰεί.
οὐκ ἀλέγω μόσχων, οὓς ἐν μεγάροις ἀτιτάλλεις·
ἐκ δὲ τεῆς ἀγέλης ἀρνήσομαι ἴφια μῆλα·
πάντα γὰρ αὐτὸς ἔτευξα, τά τε τρέφει οὔρεσιν ὕλη,
ἠδ' ὅσα που μεμέληνται ὀρεσσινόμοισι βοτῆρσιν·
οὐδέ με που πετεινὰ δι' αἰθέρος ἄφθονα λήθει·
ἀλλὰ καὶ αἰθοφόρου με περιστέφει ὄλβος ἀρούρης.
σεῖο δὲ πεινάων δευήσομαι οὔ ποτ' ἀρωγῆς·
πάντα γὰρ ἡμετέρη τεχνήσατο θεσπεσίη χείρ.
οὐ δέχομαι ταύρους, τράγιον δ' οὐ πίομαι αἷμα·
ῥέζε θεῷ θύος ἡδὺ· θύος γάρ οἱ αἶνος ἐτύχθη,
ὑψίστῳ δὲ τεῶν ἀπόδος χάριν εὐχωλάων.
εἰ δ' ἐπιδευόμενος καλέεις μ' ἐπίκουρον ἀνάγκης,

εἰμί τοι ἐσθλὸς ἀρωγὸς, ἀτὰρ σύ μὲν εὖχος ἀείσῃς.
δὴ τότ' ἀλιτραίνοντι θεὸς προσεφώνεε τοῖα·
τίπτε μὲν εὐδικίας ἐρικυδέας ἐξαγορεύεις,
καί μευ συνθεσίην φορέεις περὶ χείλεσι σοῖσιν.
αἰεί τοι στυγέεις μελεδήματα καλὰ νοῆσαι,
καὶ χάριν ἡμετέρων ἠρνήσαο πάντοτε μύθων.
καὶ πόδα ληϊστῆρι κακόφρονι σύνδρομον ἔσχες,
ξυνὸς μαχλοσύνης μοιχῶν ἀνεφαίνεο μοίρῃ.
καὶ τεὸν ὡς βέβριθε κακορραφίῃ στόμα λάβρον,
γλῶσσα δὲ δυσφροσύνῃσι περιπλέκεται δολίῃσι.
ἀμφὶ κασιγνήτοιο καθεζόμενος κάκ' ἔβαζες,
καὶ σέθεν υἱέϊ μητρὸς ἀμήχανον ἔπλεκες ἄτην.
ταῦτα μὲν αὐτὸς ἔρεξας, ἐγὼ δέ τοι ἥσυχος ἦα.
ὠΐσθης ἀθέμιστ' ὅτι τοι φρένας ἔσσομ' ὁμοῖος·
ἀμπλακίας στήσω σεῦ ἐναντίον αἰὲν ἐλέγχων.
σύνθεσθ' ἀθανάτοιο λελασμένοι ὅσσ' ἀγορεύω,
μήποτ' ἀφαρπάξειεν ἀμύντορος οὐ παρεόντος.
θῦμά μοι ὄλβιον πέλεται καταθύμιος ὕμνος,
ἡ δ' ὁδὸς ἀθανάτοιο βίην ζωαρκέα φαίνει.

## Ψαλμὸς ν.

Ἔρωτι Δαβὶδ ἀπρεπεῖ εἴξας ποτὲ,
κλοπῆς ἑάλω δεμνίων ἀλλοτρίων·
εἶτ' αὖ ἀνεῖλε τὸν γυναικὸς εὐνέτην.
Νάθαν δὲ πειθήνιος ὀφθεὶς τῷ θεῷ
ἧκε τιτρώσκων τοῖς οἰστοῖς τῶν λόγων,
καὶ τῶν ἐλέγχων φαρμάκοις καταστύφων·
ὁ δ' εὐθυμείας ἐκ ἀναξίως τρόπων,
αἴσθησιν ἥττης ἀκλεοῦς λαβὼν τάχος,
τὸν μειλίχιον ἐξιλάσκει δεσπότην,

καὶ οἶκτον αὐτὸν συγκινεῖ πρὸς τὴν μέγαν,
ᾆσμα κραδίης συντελεῖ μέλψας τόδε.
πέφυκεν πεντηκοστὸν ὁ ψαλμὸς μέλος.

Μαχλοσύνης Νάθανος ἀτασθαλίην ἀναφαίνων,
εὐφροσύνης στοναχαῖς τε δάκρισιν ἔσβεσε τέρψιν
ἀντιθέῳ βασιλῆϊ· θεοῦ δ᾽ ἡγεμόνα θυμὸν
μυρόμενος καλέων, βροτέας προὔθηκε κελεύθους,
ὄφρα κεν ὀψιγόνοισι σαόφρονα μῆτιν ὀφέλλοι.
τοῖο δὲ πεντηκοστὸς ἀλεξίκακος πέλει ὕμνος.

ΔΕυομένῳ μοι ἄναξ περιώσιον ἵλαος εἴης·
καί μευ δυσνομίην ὀλέσοις οἰκτίρμονι βουλῇ.
ἀμπλακίην ἀπόνιψον ἐμὴν πλέον ὕδατι νίζων·
ἡμετέρης ἀπάνευθεν ἀτασθαλίης με καθαίροις·
οὕνεκα δυσνομίην μὲν ἐγὼ πραπίδεσσιν ἀνέγνων,
καί μευ ἀτασθαλίη πέλεται κατ᾽ ἐναντίον ὄσσων.
ἤλιτον εἰς σὲ μάκαρ, καί σευ πέλας ἄλγος ἔτευξα.
ὄφρ᾽ ὅσιος μύθοισι τεοῖς μετὰ πᾶσι φανείης,
ἐν δὲ δίκῃ μοῦνος περιφρέστερος ἔσσεαι ἄλλων.
καὶ γὰρ δυσνομίῃ με πατὴρ ἔσπειρε πιθήσας·
καί μ᾽ ὑπ᾽ ἀτασθαλίῃσιν ἐκύσατο πότνια μήτηρ.
καὶ σοφίης κρυφίης με τεῆς ἐδίδαξας ἀταρπούς.
ὑσσώπῳ καθαρόν με περιρραίνων τολυπεύσεις,
καὶ πολὺ λευκότερον χιόνος τελέσεις με λοέσσας.
ἄγγελος εὐφροσύνης καὶ χάρματος ἄμμι φανείης·
ὀστέα τειρομένων ἐπὶ σοὶ κεχαρήσεθ᾽ ἅπαντα.
ἀμπλακίης μευ ἄνευθεν ἀποστρέψας ὀπωπήν·
καί μευ παντοδαπὰς ἀεσιφροσύνας ἀμαθύνοις.
ἄχραντον κραδίην μοι ἄναξ ἐν στήθεσι τεύχοις,
νωιτέροις ἴθυνεν εὐσταθὲς ἔγκασι πνεῦμα.

μή με τεῆς ἀπάνευθεν ἀπορρίψειας ὀπωπῆς,
μηδ' ἅγιον σέο πνεῦμα ἐμεῦ ἄπο πάμπαν ἐρύκοις.
δός μοι τερπωλὴν φάεος παλινάγρετον ἐσθήν·
πνεύματι δ' ἀρχεύοντι βίην στήριξον ἐμεῖο.
σοῦ διασημήναιμι τεὰς ἀνόμοισι κελεύθους.
πρὸς δέ σε πάντοθεν αὖθις ἐπιστρέψουσιν ἀλεῖται.
φέγγος ἐμῆς βιοτῆς ἀνδροκτασίης με σαώσοις·
εὐδικίην μευ γλῶσσα τεὴν περιγηθήσειε.
χείλεά μευ μάκαρ οἶγε, δίκην δ' ἀνὰ σεῖο βοήσω.
εἰ θυσίην ἐνετείλω, ἐγὼ περιΐδμον ἑτοίμην·
ἀλλ' οὐ καρφομένοισιν ἰανθήσῃ θυέεσσιν.
ἀθανάτῳ θυσίη πνεῦμα χθαμαλὸν μεμέληται·
ἦτορ δ' ἄναξ χθαμαλὸν καὶ μείλιχον οὐκ ὀνόσαιτο.
ὄλβιά μοι Σιὼν μάκαρ καταθύμια δοίης·
εὖ δ' Ἱερουσαλῆς κλυτὰ τείχεα τεκταίνοιτο.
δὴ ῥα τότ' εὐδικίης θυσίην πραπίδεσσιν ἕλοιο·
θύματά τε καρφόμενον καὶ ἄνω ἀνέρχουσαν ἀϋτμήν.
δὴ τότ' ἐπιρρέξουσι τεῷ μόσχους περὶ βωμῷ.

Ψαλμὸς να΄.

Δώηγος κακόεργος ἀτὰρ μετέπειτα Σαούλῳ
πέφραδεν, ὡς Δαβίδος ἐς ἀθανάτου μόλε νηόν,
εὐμενέος δ' ἤντησεν Ἀβιμελέχου μεγαθύμου,
τοῖο δὲ πεντηκοστὸν ἔφυ καὶ πρῶτον ἄεισμα.

Τίπτε μοι ἀλκήεις σφετέρῃ κακότητι πέποιθας,
δυσνομίην πραπίδεσσι πανημαδὸν ἐκτολυπεύων,
ἀμφὶ δέ τοι γλώσσῃ ἀθεμίστιον ἔβλυσεν ὕβριν·
ᾧ δὲ δόλον τείνησας ἅτε ξυρὸν ὀξὺ τεθηγός.
ἀντ' εὐεργεσίης φιλέων κακότητα βαρεῖαν,
ἀντὶ δικαιοσύνης ἀθέμιστα πάντ' ἀγορεύων,

γλώσσης

γλώσσης μῦθον ἅπαντα δολόφρονος ἀμφαγαπάζεις·
ἔνθεν ἄναξ καθελεῖ σε διαμπερὲς εὖχος ἀπούρας·
ὡς δ' ὅρπηκα ταμών σε, τεῶν ἀπονάσσεται οἴκων·
σεῖο δ' ἀποσπάσσειεν ἀπὸ χθονὸς ἀκλέα ῥίζαν.
εὐδικίης λεύσσοντες ὑποπλήξουσ' ὑποφῆται·
τοῖα δ' ὁμῶς ἐρέουσιν ἐπ' αὐτῷ μειδιόωντες·
ἀθάνατον θεὸν οὗτος ἔχειν ἠρνήσατ' ἀρωγόν·
θυμῷ δὲ κτεάτεσσι περὶ σφετέροισι πεποίθει,
αἰεὶ μαψιδίοισι βίην κεκορυθμένος ἔργοις.
αὐτὰρ ἐγὼ περὶ θεῖον ἕδος βρύω ὥς τις ἐλαίη,
θεσπεσίην ἐλεητὺν ἐμοῖς ποτιδέγμενος ὄσσοις,
καὶ νῦν καὶ μετέπειτα διηνεκέεσσι γενέθλαις.
ὧν χάριν ἐξετέλεσσας ἄναξ τεὸν αἶνον ἀείσω,
πάντοτε σοῖς ὁσίοις ὄνομα γλυκὺ σεῖο δοκεύων.

## Ψαλμὸς νβʹ.

Δαβίδου πινυτοῦ ὑπὲρ ἀντιθέου Μαελήτου·
τοῖο δὲ πεντηκοστὸς ἔφυ καὶ δεύτερος ὕμνος.

Οὐκ ἔστι θεὸν εἶπεν ἑοῖς ἐν στήθεσιν ἄφρων.
αἴσχεα τεκταίνοντες, ἑοῖς ἐξέφθιθεν ἔργοις·
ἐργατίνης οὐκ ἔστιν ἕως ἑνὸς εὐνομιάων·
ἄφθιτος οὐρανόθεν βρότεον σκοπιάζετο φῦλον,
ὀψόμενος εἴ τις ἄνακτα θεὸν διζήμενος εἴη.
πάντες ἀποκλίναντες ὁμοῦ κλονέοντο κακοῖσιν,
ἐργατίνης οὐκ ἔστιν ἕως ἑνὸς εὐνομιάων.
οἱ δ' ἀγαθῶν ἀγνῶτες ἀεὶ συμφραδμονες ἄτης,
λαὸν ἐμὸν κατέδοντες ὅπως θρεψήνορα σῖτον,
ἀφραδέες ἐλάθοντο θεὸν βασιλῆα λιτέσθαι.
δειμαίνεσκον ἄσην, ὅτε δείματος οὐ χρέος ἦεν·
ὀστέα πάντα κέδασσαι, ὅστις μήδει ἄνδρας ἰαίνειν,

καί σφισιν ἄφθιτος αὐτὸς ὀνοσσάμενος πόρεν αἶσχος.
Τίς πόροι ἐκ Σιῶνος ἐπίρροθον Ἰσραήλου·
λαοῦ ὅταν στρέψειε θεὸς κατὰ δούλιον ἦμαρ,
τῆμος ἀγαλλέσθω περιώσιος Ἰσραῆλος.

Ψαλμὸς νγ΄.

Τὴν δὲ θεῷ κελάδησεν ἄναξ Δαβίδος ἀοιδὴν,
Ζηφαίων δ᾽ ὅτε φῦλον ἀτάσθαλον ἦγε Σαούλῳ,
πὰρ θέμιν ἀγγελίην ἀποφώλιον· οὐδ᾽ ἱκετάων
φείσατο, Δαβίδον ὃ μετὰ σφίσι φαῖτο κεκρύφθαι.
Τοῦ δὲ μέλος τρίτατον καὶ πεντηκοστὸν ἐτύχθη.

Οὔνομα σὸν βασιλεῦ με κακῶν ἀπάνευθε σαώσοι,
καί μ᾽ ἀναμετρήσας περὶ σὸν σθένος ὧδε δικάζοις.
εὐχωλῆς ἐπάκουσον ἐμῆς πανυπέρτατε ποιμὴν·
μύθοις ἡμετέροις ἀειήκοον οὖας ἐρείδοις.
οὕνεκά μοι ξεῖνον δηίων θωρήξατο φῦλον,
καί μευ ἀνιχνεύεσκον ἑλεῖν μενεδήιοι ἦτορ,
οὐδὲ νόῳ βασιλῆος ἐπεμνήσαντο θεοῖο.
ἤτοι ἐμοὶ καλέοντι θεὸς ἐπιτάρροθος ἔσται,
καί μευ ἄναξ βιότοιο διηνεκέως προμαχίζοι.
κήδεα δυσμενέεσσιν ἀποστρέψειας ἐμεῖσιν·
σεῖο δ᾽ ἀληθείῃ βασιλεῦ σφέας ἐξαλαώσοις.
αὐτὰρ ἐγώ σοι θῦμα νόῳ ποθέοντι κομίσσω·
οὔνομα σὸν μέλψω βασιλεῦ· ἀγαθὸν γὰρ ἐτύχθη·
οὕνεκα παντοίης μευ ἐρύσαο θυμὸν ἀνάγκης·
δυσμενέων δ᾽ ἀνέφηνας ἐμοῖς ὄσσοισιν ὄλεθρον.

Ψαλμὸς νδ΄.

Δαβίδου πινυτοῦ θεοπρεπέος ἄξιος ὕμνος
πεντηκοστὸς ἐὼν ἀγαθοῖς ἐπὶ τέτρασιν ἄλλοις.

Εὐχωλῆς ἐπάκουσον ἐμῆς πανυπέρτατε ποιμήν,
μηδέ μευ ἱκεσίην ἀγανόφρονα πάγχυ παρέλθοις·
δέρκεο νωϊτέρην δὲ μετ' οὔασι δέχνυσο φωνήν.
χωόμενος πυκινοῖς κελαδήμασι θυμὸν ὀείνθην,
δυσμενέος φθογγὴν ἀΐων καὶ μόχθον ἀλιτροῦ.
οὕνεκεν ἀμπλακίας μοι ἐπεκλίνεσκον ἀνίγρας,
πικρὰ δὲ λυσσώοντες ἐπὶ φρεσὶ μῆνιν ἔθεντο.
ἀμφ' ἐμοὶ ἡμέτερον ταραχῇ βεβολημένον ἦτορ·
ῥιγηλοῦ θανάτοιο βίην τρομέεσκον ἰοῦσαν.
δεῖμα, τρόμος μετ' ἔμ' ἦλθε, κάλυψε δὲ νήχυτος ὄρφνη·
εἶπα δέ, τίς κεν ἐμοὶ πτέρυγας πόροι οἷα πελείης,
ὄφρα δέμας καμάτοιο ποτώμενος ἀμπαύσαιμι.
τῆλε φυγὴν ἐθέμην, ἐν δ' ἤνυον αὖλιν ἐρήμῳ,
ἀδρανίης ἀλκτῆρα μένων ταναῆς τε θυέλλης·
γλώσσας σφωϊτέρας σὺ μερισσάμενος βάλε πόντῳ·
ἀμπλακίην ἐνόησα ἐπεσβολίην τ' ἀνὰ ἄστυ.
πύργοις ἠματίη νυχίη θ' ἕο κυκλώσειεν·
μεσσόθι δυσνομίην φορέει καὶ μόχθον ἀνίης.
μηδὲ πόνος δολόεις σφετέρων λείποιτο κελεύθων.
εἴ μ' ἐχθρὸς συφέλιξεν ὀνείδεσιν, ἦ τάχ' ἀνέτλην,
καί κεν ἀπεχθομένοιο λόγων ἀλέεινον ἐρωήν·
ἀλλὰ καθηγητὴρ καὶ γνώριμε πάντοθ' ὁμόφρων·
οὐκ ἄμφω θαλίης περὶ σοὶ πασάμεσθα μελιχρῆς;
ἦ ῥ' οὐ δῶμα θεοῖο φίλα φρονέοντες ἔβημεν;
εἶτ' ὀλοῶν ἔλθοι θάνατος σφίσιν ἄξιος ἔργων,
εἰς δ' ἀΐδαο βέρεθρον ἔτι ζώοντες ἵκοιντο·
οἳ ῥα μέσης φορέοισιν ἀτασθαλίας καλύβῃσιν.
αὐτὰρ ἐγὼν ἐβόησα, θεὸς δέ μευ ἔκλυεν αὐδῆς.
ἐξ ἠοῦς ἐρέω τε καθ' ἑσπέρα καὶ μέσον ἦμαρ·
γήρυος ἡμετέρης ἐπακούσεται ἀγγέλλοντος.

εἰρήνῃ κραδίην ἀπολύσεται ἄσσον ἰόντων,
οὕνεκά μοι πολέεσσι πεποιθότες ἀντεφέροντο.
κείνοις εἰσαΐων γενετὴρ κόσμοιο μαραίνοι.
οὐ γὰρ λύτρον ἔχουσι, καὶ οὐκ ἀλέγουσι θεοῖο.
τεῖνεν ἀμοιβαίοις παλάμην σπέρχουσαν ἐπ' ἔργοις.
οἱ δέ οἱ ἁρμονίην νημερτέα θέντο βέβηλον·
καί οἱ ἐμοιρήσαντο δυσαντέα μῆνιν ὀπωπῆς·
ἐγγύθεν ἀθανάτου σκοπιάζετο μῆτις ἄνακτος·
τῶν δ' ἐγένοντο λόγοι ἁπαλώτεροι ἤπερ ἔλαιον,
ἀλλ' ὀλοαῖς βολίδεσσι μετὰ σφίσιν ἔσκον ὁμοῖοι.
ἀθανάτῳ βασιλῆϊ τεὰς ἐπίπεμπε μερίμνας,
καί σευ ἀεὶ κήδοιτο διηνεκέως τ' ἀτιτάλλοι.
οὔποτε ζημήεντι σάλον τεύξειε δικαίῳ.
ἀλλά σφεας κατάγοις βασιλεῦ μετὰ βόθρον ὀλέθρου.
ἀνδροφόνοι δολεροί τε βίου κατὰ μέσσον ὄλοιντο.
αὐτὰρ ἐγὼ βασιλῆος ἐπ' ἐλπωρῇσι βιῴην.

## Ψαλμὸς νε΄.

Οὐδὲ φυγὼν Δαβίδος ἑῶν ἐπελήσατο λαῶν,
ἀλλὰ θεὸν λιτάνευεν ὅπως περιφείσεται ἀνδρῶν,
οἳ νόον ἐντὸς ἔθεντο θεουδείης ἐρατεινῆς.
κεῖνος μὲν λίγα μίμνεν ἐπ' ἀλλοδαπῇσιν ἀρούραις·
Γετθαῖοι δέ μιν ἄνδρες ὑπὸ βασίῃσιν ἑλόντες
ἦγον ἑῷ βασιλῆϊ, θεὸς δ' ἐρρύσατο μόχθων.
τοῦτο δὲ πεντηκοστὸν ἔφυ καὶ πέμπτον ἄεισμα.

Ἴλαθί μοι· μάλα γάρ με καταστείβει ποσὶν ἀνήρ.
μόχθοισιν μ' ἐβάρυνε πανημέριον πτολεμίζων.
ἤματος πέζῃσιν ἀπεχθομένων πεπάτημαι·
ὑψόθεν ἐξ ἠοῦς πολέες τεύχουσι κυδοιμούς.
οὔ τι ὑποδδείσαιμι ἐπεὶ σύ μευ ἤπιος ἐτύχθης.

εὖ ἐπὶ ἢ βασιλῆα πανημαδὸν ὑμνοπολεύσω.
οὐ τρομέω βροτὸν ἄνδρα, θεός νύ μοι ἤπιος ἐτύχθη.
νωΐτέροις συνέεσκον ἐνὶ φρέσι πάντοτε μύθοις·
αἰεὶ ἀμφ᾽ ἐμέθεν κακὰ μήδεα μητιάασκον.
ἐγγύθι ναιετάοντες ἑὰς κρύψοισι μένοινας,
πτέρνης ἡμετέρης φυλακὴν ποιούμενοι αἰεί.
ὡς δ᾽ αὐτοὶ λοχόωντες ἐμὸν μένον ἦτορ ὀλέσσαι·
ὧδε κότῳ καθέλοις κρυφίῳ κακοεργέα φῦλα·
χωόμενος κραδίῃ κατάγοις ὑψαύχενα δῆμον.
ἡμετέρην σοι ἄναξ γλυκερὴν ἤγγειλα βιωτήν,
καί μευ θῆκας δάκρυ τεῶν καὶ ἐναντίον ὄσσων·
ἐχθροὶ ὑπὸ σχετίῃσι τεαῖς στρεφθῆεν ὀπίσσω,
εὖτε τεὴν βασιλεῦ ἐπαρηγόνα χεῖρα καλέσσω.
ἔγνων ὅτι θεὸς πανεπίσκοπος ἔπλετ᾽ ἐμεῖο.
μέλψω θαρσαλέως θεοπρεπέα κῶμον ἄνακτι,
παμβασιλῆϊ ἔπος καταθύμιον ὑμνοπολεύσω.
οὐ τρομέω βροτὸν ἄνδρα, θεός νύ μοι ἤπιος ἐτύχθη.
εἰσί μοι εὐχωλαί, ἅς τοι μάκαρ αἶνον ἀείσω·
οὕνεκά μευ λύσας θανάτου βαρυώδυνον ἦτορ,
ὀφθαλμούς τε γόοιο, πόδας ἐξείλε᾽ ὀλίσθου.
ζωόντων βασιλῆϊ θεῷ μέγα φέγγος ἀδοιμι.

## Ψαλμὸς νϛ.

Καὶ τόδε Δαβίδου τὸ μυστήριον, εὖτε Σαούλου
ἄσχετον μανίην ἀσπασίως περιφυγών,
Ἰαχὲ πεντηκοστὸν ὁμοῦ καὶ ἕκτον ἄεισμα,
εἰς σπέος ἑζόμενος ὁ πρὶν ἀλιστοπόνος.

Ἵλαθί μοι βασιλεῦ πανεπίσκοπε, καί μ᾽ ἐσαίροις·
οὕνεκά σοι φίλον ἦτορ ἀεὶ περιθάρσυνον ἴσχω.
σῆσι περὶ σκέπῃ σκιερῇ πτερύγεσσι πεποιθώς,

εἰσόκεν ἀχράαντος ἀτασθαλίη με παρέλθοι.
ὕψιστον καλέσαιμι θεὸν βασιλῆα λιτῇσιν
ἄφθιτον, οὗ σύμπαντα φέρω φυσίζοα δῶρα.
οὐρανόθεν προϊεὶς με κακῆς ἐσάωσεν ἀνάγκης,
καί με καταστείβοντας ὀνείδεσι δῶκεν ἀλείτας.
πέμψεν ἀληθείην καὶ ἑὴν οἰκτίρμονα βουλήν·
ῥύσατο δὲ σκύμνων ὀλοῶν μέσον ἦτορ ἐμεῖο·
αὐτὸς ἐκοιμήθην κρυφῇ τεταραγμένος ἄτῃ.
ἀνέρες οἷς ἀσπίς τε καὶ οἷς βέλος εἰσὶν ὀδόντες,
ὀξείη δὲ γλῶσσα πανείκελός ἐστι μαχαίρῃ.
ὄρσ' ὑπὲρ οὐρανίων δαπέδων πανυπέρτατε ποιμήν,
καὶ σέθεν ἄσπετον εὖχος ἐπὶ χθόνα πᾶσαν ἱκάνοι.
ἡμετέραις ἔπλεξαν ἀμήχανα δίκτυα πέζαις,
καὶ θυμὸν κατέκαμψαν ἐμὸν μογέοντα κακοῖσι.
κάππεσον εἰς βόθρον, τὸν ἐμοὶ θέσαν αἴτιον ὄσσων.
θυμὸς ἑτοῖμος ἐμὸς πανεπίσκοπε, θυμὸς ἑτοῖμος·
κῦδος ἐμὸν μέλψει σε καὶ ἐν ψαλμοῖσιν ἀείσει.
ἔγρεό μοι σοφίης κεαρὸν καὶ ἀγήραον εὖχος·
ἔγρεό μοι φόρμιγξ καὶ ἐμὸν ψαλτήριον ὕμνων·
ἐμματέως ἠῶθεν ἀνεγρόμενος κελαδήσω·
ἀμφιβόητον ἔπος σοὶ δ' ἄναξ λαοῖσι βοήσω,
καὶ δήμοις πολέεσσι λυρόκτυπον αἶνον ἀείσω.
οὐρανίων ἐλεητὺν ἔχεις καθύπερθε πυλάων,
καί σευ ἀληθείη νεφέων κατέναντα ποτᾶται.
ὄρσ' ὑπὲρ οὐρανίων πυλέων πανυπέρτατε ποιμήν,
καὶ σέθεν ἄσπετον εὖχος ἐπὶ χθόνα πᾶσαν ἱκάνοι.

Ψαλμὸς νζ'.

Στήλης ἧς μενέχαρμος ὑπὲρ Δαβίδος ἔγραψε
μηδέποτε φθεῖραι πρὸς τέρματι καλὸν ἄεισμα·
οὗ πάρα πεντηκοστὸς ἔφυ καὶ ἕβδομος ὕμνος.

Ἦρά που ἀτρεκέως ὁσίους ἀγορεύετε μύθους,
καὶ θέμιν ἰθεῖαν μερόπων ἰθύνετε παῖδες,
ἀμπλακίην πραπίδεσσιν ἐπὶ χθονὶ τεκταίνοντες,
πλεξάμενοι παλάμῃσι κακορρέκτοις ἀθέμιστα.
ἀλλότριοι περὶ τόκοιο θεοῦ γεγάασιν ἀλεῖται·
ἐκ γαστρός τ' ἀλάλυνται ἀεὶ ψευδῆ λεγέοντες,
ἰοβόλοις ὄφιεσσι πανείκελοι μιαιόωντες,
ἀσπὶς ὅπως κωφὴ τῆς περ κότῳ οὔατ' ἔβυσεν·
ἥ ῥ' οὐκ ἰητῆρος ἐπαείδοντος ἀκούει,
φαρμακόεντ' οὔ οἱ μέλεται σοφοῦ ἀνέρος ἦχαρ.
τῶν δὲ θεὸς συνέτριψεν ὑπὸ στόμα πικρὸν ὀδόντας·
γαμφηλὰς ὀλοῶν βασιλεὺς ξυνέαξε λεόντων.
μορμυντοὶ τελέθοισι μάτην ἅτε νίσσεται ὕδωρ·
τόξον δ' ἂν ἄναξ τανύσειεν ἕως νούσοισι δαμεῖεν.
κηρῷ τηκομένῳ ἴκελοι τήκοιντο κακοῖσιν·
ἠελίου λελάθοντο πυρὸς περιμολόντος ἐπ' αὐτούς.
ὑμετέρην πρὶν ῥάμνον ἑὰς διαείδμεν ἀκάνθας·
αἶψα καταβρώξειεν ὅπως ζώοντας ἀρειῇ.
εἰσορόων ὅσιος κεχαρήσεται ἔκδικον ἦμαρ·
αἵματί που νίψαιτο φίλας περὶ χεῖρας ἀλιτρῶν.
ἐξερέων ὅτι καρπὸς ἀγακλέος ἐστὶ δικαίου,
ὡς θεὸς ἐν γαίῃ βροτέων πέλει ἔκδικος ἔργων.

Ψαλμὸς νη'.

Στήλης εἰς ἐπίγραμμα γράφων Δαβίδος ἀμώμων,
ἀρχόμενος θέσπιζεν ἔχειν τέλος ἄψογον ὕμνων·
ὁππότε Σαοῦλος κραδίην ἀμνήμονα μόχθων
τοῖο φέρων, προτέρων δὲ λελασμένος ἁρμονιάων,
πέμψεν ἀελσοπόνοιο δόμον γαμβροῖο φυλάσσειν·
ὄφρα οἱ ἀντ' ἀγαθῶν θάνατον γέρας αἶνον ὀπάσ
τοῖο δὲ πεντηκοστὸς ἔφυ καὶ ὄγδοος ὕμνος. (σσῃ.

Ἄφθιτε δυσμενέων με κακῆς ἐξάρπασον ἄτης·
ἐκ δὲ κορυσσομένων μοι ἐλεύθερον ἦμαρ ὀπάζοις.
ἀλλὰ καὶ ἀνδροφόνων μ' ὀλοῶν βαρυώδυνον ἦτορ,
οἳ πρὶν ἐμὸν ἰχνεύεσκον, ἄναξ ἀπὸ ῥίμφα σαώσοις.
κάρτιστοι νύ μοι ἄνδρες ἐπιβρίθεσκον ζωῇ,
οὐ περὶ δυσνομίης οὐδ' ἀμπλακίῃσιν ἐμῇσι·
δυσνομίης ἀπάνευθε δραμὼν ὁδὸν εὗρον ἑτοίμην.
ἐρχόμενος βασιλεῦ παρ' ἐμὲ ἵστασο καὶ ἴδε ἔργον·
καὶ σὺ ἄναξ σθενέων Ἰσραήλοιό τε ποιμήν,
ἔθνεσι παντοδαποῖς πανεπίσκοπον ὄμμα τιταίνοις,
μηδὲ κατοικτείρειας ἀτασθαλίης θεράποντας.
ὥρης ἑσπερίησιν ἐπιστρέψοισιν ἄπαστοι,
καὶ κυσὶ πειναλέοις ἴκελοι πόλιν ἀμφιέποιεν.
τῶν φθογγὴ μὲν ἄπυστος, ἀτὰρ περὶ χείλεσιν ἄορ,
ὄφρα τις εἰσαΐοι· σὺ δ' ἄρα σφέας ἡδὺ γελάσσῃς.
φῦλα βροτῶν ὀνόσαιο κακῶν χάριν ἀμπλακιάων.
κάρτος ἐμὸν βασιλῆϊ μεγακλήεντι φυλάξω,
οὕνεκά μευ θεὸς αἰὲν ὑπερμενέως προμαχίζει.
ἀμφιβάλοι μ' ἐλεητὺς ὑποφθαμένη βασιλῆος.
ἡμετέροις δαμάσσειας ὑπ' ὀφθαλμοῖσιν ἀλείτας
μὴ κτείνων, ἵνα σεῖο νόμου μὴ πάγχυ λάθοιντο,
ἀλλὰ βίῃ μεγάλῃ καὶ κάρτεϊ ῥεῖα κεδάσσῃς,
καί σφεων ἠνορέην δαπέδῳ πελάσειας ἀμύντωρ·
ἀμπλακίην στόματος σφετέρου χειλέων θ' ἅμα μῦθον·
σφωϊτέρῃς μεγάλῃσιν ὑπερβασίῃσιν ἀλῷεν.
ὧν τέλος ἐξ ἀρῆς καὶ ψεύδεος ἀγγέλλοιτο,
πείρας χωομένοισι μόλοι καὶ τέρμα βίοιο.
ἴσωσαν θεὸς οὕνεκ' Ἰακώβου βασιλεύει,
παντοδαπῆς ἄντυξιν ἀνακτορίην χθονὸς ἴσχων.
ὥρης ἑσπερίησιν ἐπιστρέψουσιν ἄπαστοι,

καὶ κυσὶ πειναλέοις ἴκελοι πόλιν ἀμφιέποιεν.
εἰ δὲ κεδασθήσονται ἐνηέα δόρπον ἢ ἕσθαι·
τὴν δὲ μάτην τρίζωσι κορεσσάμενοι κατὰ θυμόν.
αὐτὸς ἀγακλῆεν σεῖο σθένος ὑμνοπολεύσω.
ἠῶθεν δ' ἐλέῳ κεχαρήσομαι ἄφθιτε σεῖο,
οὕνεκά μεν θεός ἐστι καὶ ἔκδικος αὐτὸς ἐτύχθης,
καί μευ ἔφυς κακότητος ἐν ἤματι πύργος ἑτοῖμος.
ὄρχαμε φορμίζω σέ, ἐπεὶ σύ μεν ἔπλευ ἀρωγός.
νωΐτερος βασιλεὺς ἐλεημοσύνη μεν ἐτύχθη.

## Ψαλμὸς νθ'.

Ἐπίγραμμα τοῦτο πραγμάτων ὑπὲρ χώρας,
αὖθις μετὰ σκεφθέντι τῶν λοιπῶν λεῶν,
ὑπὲρ τὸ νομισθὲν τῷ βασιλεῖ πεπραγμένων.
καὶ γὰρ παρελθὼν τοὺς Παλαιστίνης ὅρους,
καὶ τἄλλ' ἐφεξῆς τῶν σύρων τὰ χωρία,
τὴν Μεσοποταμίαν πυρπολεῖ κατακράτος.
Ἰώαβος δὲ σὺν θεῷ αὐτὸς πάλιν
Ἐδὼμ πατάσσει τῇ φάραγγι τῶν ἁλῶν,
ἀνδρῶν φονεύσας χιλιάδας δώδεκα,
τὸν Σόβαδεν δὲ τὸν σύρον κατασπάσας.
ὡς δ' οἶδεν ὁμοίωσιν ἀγαθῶν πραγμάτων
Δαβίδος ἐνεφορεῖτο θείου πνεύματος·
ἐπέταξε πορθεῖν τῷ στρατηγῷ συντόμως·
ὑμνεῖ δὲ πεντηκοστὸν ἀμφ' ἐνάτῳ μέλος.

ΗΜέας ὦ βασιλεῦ καθελὼν ἐξώσαο πάντας·
χωσάμενος δ' ἐλέησας ἀμαιμάκετον μετὰ μῆνιν·
γαῖαν ὅλην ἐδόνησας ἀφειδείῃσιν ὀρίνων.
εἶτέ οἱ ἰήσαιο τὰ ὑπὲρ ξυνέαξας ἑλίξας.
σεῖο μάκαρ λαοῖσι σιδήρεα δῶκας ἰδέσθαι·

μνήμονα παντοίης οἶνον πόρες ἄμμιν ἀΐης.
σῆμα πόρες δμώεσσι βίῃ τόξου ἀλέασθαι,
ὄφρα τεοὺς θεράποντας ἀφαρπάξειας ἀνάγκης·
δεξιτερῇ με σάω, καὶ ἐμῆς ἐπικέκλυθι φωνῆς.
εἶπεν ἄναξ ἁγίῳ σφετέρῳ συμφράδμονα μῦθον,
τερπόμενος Σίκημα θοῶς διαδάσσομαι ἤδη,
καὶ κοίλην διαμετρήσω πυκινῶν κλισιάων.
ἡμέτερος Γαλαάδος, θ' ἡμέτερος δὲ Μανασσῆς,
Ἐφρεμος ἡμετέροιο καρήατος ἄλκαρ ἐτύχθη.
αὐτὰρ γ' εὐκλεέης βασιλεὺς ἐμός ἐστιν Ἰούδας·
ἐλπωρῆς δὲ λέβης μὲν ἔφυ Μώαβος ἀμύμων.
ἐκτείναιμι πέδιλον ἐμὸν παρὰ πάροιθ' Ἰδυμαίης·
ποσσὶν ἐφ' ἡμετέροις ἀλλότρια φῦλα δαμάσθη.
ἤθελον εὐπύργου κλυτὸν ἄστεος ἡγεμονῆα,
ἠὲ καὶ ἰθυντῆρα Ἰδουμαίης μετὰ δήμοις·
ἦ ῥ' οὐκ αὐτὸς ἄναξ ἡγήσατο, ὁ πρὶν ἐάσσας,
οὐδὲ κορυσσομένοισιν ἐλεύσεαι ἄμμιν ἀρωγός.
τειρομένοις ἐπίκουρος ἄναξ ἀναφανδὰ φανείης.
ἄμμι δὲ μαψίδιον μερόπων φάος ἐγγυαλίξοις·
ἐν κρατερῷ βασιλῆϊ βίην τελέσωμεν ἑτοίμην·
δυσμενέων δ' ἔκπαγλον ὑπερβασίην ἀθερίζοι.

## Ψαλμὸς ξ΄.

Ἑξηκοστὸν ἔγραψεν ἄναξ Δαβίδος ἄεισμα.

Ικεσίης ἐπάκουσον ἐμῆς πανυπέρτατε ποιμὴν,
καί μοι ἐπ' εὐχωλῇ τηλέσκοπον ὄμμα τανύσσαις.
δευόμενος βοάασκον ἄναξ περάτων ἀπὸ γαίης,
ἀχνυμένης μ' ἀνάειρας ἐμῆς κραδίης ἐπὶ πέτρην.
ἡγητὴρ ἐμὸς ἔσκες, ἐπεὶ σύ μὲν ἐλπὶς ἐτύχθην·
πύργος ἐμὸς μετὰ δήιων ἐπερχομένων ὀλετήρων·

σῇσι μάκαρ καλύβῃσι διηνεκέως παραμίμνω·
καὶ σέο θεσπέσιον πτερύγων σκέπας ἀμφιπυκάζοις·
οὕνεκα νωϊτέρων μάκαρ ἔκλυες εὐχωλάων.
κλῆρον ἀγακλήεντα τεοῖς δμώεσσιν ἔδωκας.
ἦμαρ ἐπ' ἦμαρ ἄνακτι πόροις βιότοιο κελεύθοις·
ἐκ γενεῆς γενεὴν δὲ θεοῦ πέλας ἔμπεδον εὕροι.
ὥς οἱ ἀληθείην ἔλεόν τε ἅμα μαστεύσητε.
πάντοτ' ἐμὸν βασιλῆα φίλῃ φόρμιγγι βοήσω,
εἰσόκεν εὐχωλὰς τίσω μάκαρ ἦμαρ ἐπ' ἦμαρ.

## Ψαλμὸς ξβ'.

Ἰδιθούμου κῶμον ὑπὲρ Δαβίδος ἔγραψε
τὸν δ' ἑξηκοστὸν μελέων καὶ δεύτερον ἀείσας.

Ἦρ' οὐχ ἡμέτερον δεδμήσεται ἦτορ ἄνακτι;
καὶ γὰρ φέγγος ἐμὸν τελέθει βασιλῆος ἀρωγή.
οὕνεκά μοι θεὸς αὐτός, ἐμῆς δ' ὑπερίσταται ἀλκῆς.
ἄλκαρ ἐμόν, τὸ, καὶ οὔ τί ποτ' ἥττομαι εἶτ' ἀλεείτης.
μέχρι τεοῦ ἀνδρὶ μάχεσθε, ὁμῶς τ' ἐναρίζετε πάντα,
τείχει κεκλιμένῳ ἴκελοι φραγμῷ τε πεσόντι·
ἔδραμον ἐν δίψῃ, σκέψαντο δέ μ' ἀκλέα τεῦξαι,
εὐχόμενοι γλώσσῃσιν, ἀραῖς στέρνοισιν ἔπαιον.
θυμὲ πέσον βασιλῆϊ, θεῷ δέδμησο πεποιθώς.
οὕνεκεν ἐπωρῆς μοι ἔφυ φυσίζοον σῆμα.
αὐτὸς γὰρ θεός ἐστιν ἐμός, σωτήρ τε τέτυκται.
ἄλκαρ ἐμόν, ὥς κέν με φίλης ἐλάσειε τιθώνης·
κῦδος ἐμὸν καὶ φέγγος ὑπ' ἐννεσίῃσιν ἄνακτος·
ἐλπὶς ἐμὴ βασιλῆα μένει καὶ κάρτος ἀρωγῆς.
παντοδαπὴ δήμων κλισίη θαρσήσατ' ἄνακτι·
σφωΐτερον δ' ἀναφανδὰ θεῷ προχεύσατε θυμόν.
οὕνεκά τοι ἐπίκουρος ἀεὶ θεὸς ἄμμιν ἐτύχθη.

ἔμπα γεμὴν μερόπων ἀλίη σύμπασα γενέθλη.
φύτλη ψευδαλέη μερόπων ἀδίκοισι ταλάντοις.
ἐκ φρενὸς ὥρμηθεν κενεαυχέες εἰς ἓν ἰόντες·
μηδ᾽ ἔπι τ᾽ ἀμφ᾽ ἀδίκοισι νόον μεμηνημένον ἴσχειν,
μηδ᾽ ἔτ᾽ ἐπ᾽ ἀλλοτρίοις ἀγαθῶν θέμεν ἅρπαγα θυμόν.
μηδὲ ῥόον πλούτοισι πολυκτεάνοιο ποθεῖτε.
εἶπεν ἅπαξ βασιλεύς, δύο δ᾽ ἔκλυον οὔασι ταῦτα·
ὡς θεοῦ ἔπλετο κάρτος, ἰδ᾽ ὡς ἐλεητὺς ἄνακτος.
πᾶσι σὺ μισθὸν ἄναξ ὀπάσεις ἀντάξιον ἔργων.

## Ψαλμὸς ξβ΄.

Δαβίδου κλυτὸς ὕμνος Ἰουδαίας ἐν ἐρήμῳ
ἐξηκοστὸς ὁμοῦ καὶ δεύτερος οὗτος ἐτύχθη.

Νύκτα μεθ᾽ ἀμφιλύκην σὲ μάκαρ μάκαρ ἀμφιχορεύσω·
καὶ ψυχή σ᾽ ἐπόθησεν ἐμή, καὶ σὰρξ ἔτι μᾶλλον,
πεινῶσαν καὶ ἄνυδρον ἀνὰ χθόνα πολλὸν ἐρήμην.
σοὶ μάκαρ ἐν ἁγίῳ μάλα θαρσαλέως ὧδε φαάνθην,
ἰχανόων δύναμίν τε τεὴν καὶ κῦδος ἰδέσθαι.
κρεῖσσον ἔχεις ζωῆς ἐλεητὺν ἄναξ βιότοιο κελεύθων,
χείλεσιν ἡμετέροισι τεὸν κλέος ὑμνοπολεύσω.
ὧδέ σε κυδαίνοιμι διαμπερὲς εἰσόκεν ἕρπω·
σοὶ δ᾽ ἐπιθαρσήεις παλάμας εἰς ὕψος ἀείρω.
οἷά τε πιαλέης πλησθήσομαι ἦτορ ἀλοιφῆς·
χείλεα δ᾽ εὐφροσύνης ἐμέθεν στόμα πάντοτε μέλψει.
εἰ σέθεν ἐν λεχέεσσιν ἐμοῖς μεμνημένος ἦα,
ἦσι μάλ᾽ ἐξ ἠοῦς μελεδήμασι θυμὸν ἔβοσκον,
οὕνεκεν ἄμμιν ἄναξ ἐπιτάρροθος ἐξεφαάνθης,
καὶ σέο γηθήσαιμι περὶ πτερύγων ἀλεωρῇ.
ἴχνεϊ σῷ ξυνοπηδὸν ἐμὸν φίλον ἦτορ ἐρείσθη·

καὶ σέο δεξιτερή μου ὑπὲρ μένεος προεμάχησεν.
οἱ δὲ μάτην μάστευον ἐμὸν διὰ θυμὸν ὀλέσσαι.
νερτερίων ὑπένερθεν ἱκοίατο ῥίμφα βερέθρων.
χερσὶν ἀρπαλέων ξίφεος μέλπηθρα τετύχθων·
δεινὸν ἀλωπήκεσσιν ἕλωρ καὶ δασμὸς ἔσονται.
αὐτὰρ ἄναξ θεῷ ἀμφὶ φίλην φρένα γηθήσειεν.
πᾶς δέ οἱ ὀμνύμενος κλέος ἄφθιτον αἰνετὸς ἔσται.
πᾶν γὰρ ἀπεκλείσθη λάβρον στόμα λωβητήρων.

## Ψαλμὸς ξγ΄.

Δαβίδου λιγυρὸς μεγαλοσθενέος βασιλῆος
ἑξηκοστὸς ὁμοῦ τρίτατός θ' ἅμα κῶμος ἐτύχθη.

Ἰκεσίης ἐπάκουσον ἄναξ ὅτε σεῖο λιτοίμην·
θυμὸν ἐμὸν λύσειας ὑπ' ἀντιβίης μελεδῶνος.
ἔκρυψάς μ' ἀπάνευθε κακῶν ἀγεληδὸν ἰόντων,
πληθύος οἷσι μέμηλε νόῳ ἀθεμίστια ἔργα.
οἳ γλώσσας θήγεσκον ἑὰς ξιφέεσσιν ὁμοίας.
ἔργα δὲ ῥιγηλῷ προέεσαν πανομοίϊα τόξῳ.
ὥσκεν ὀϊστεύσωσιν ἀναίτιον ἀνέρα λάθρῃ·
οὐδέ μιν ἐξαπίνης κραδίῃ δείσουσι βαλόντες.
ἔμπεδον ἐστήριξαν ἀναιδέα δνώεσι μῦθον,
δίκτυον ἐσκέψαντο δολοφροσύνῃσι καλύψαι.
εἶπον, τίς κεν ἴδοι σκόπον σφέων ὄμμασιν ἔργον·
θυμῷ δ' ἀνιχνεύεσκον ἀλιτροσύνην ἀγεχλινῶ·
οἱ δ' ὀλιγηπελέεσκον ἀπείριτα μαστεύοντες.
νειόθεν ἴδμονα μῆτιν ἔχων προσελεύσεται ἀνήρ,
ὅς ῥ' ὑψιβρεμέταο βίην βασιλῆος ἀείροι.
ὧδε βέλη προέηκαν ὅσον καὶ νήπιος υἱός.
ἠπεδαναῖς γλώσσῃσιν ὑπέρβια μυθίζοντες.
πάντες ἅμ' ὠείνθησαν, ὅσοι σφέας εἰσορόασκον.

ὡς μερόπων οὐκ εἶδεν, ἰδὼν δ' οὐκ ἔτρεσε θυμῷ·
καὶ πολυκυδήεντα θεοῦ διαπέφραδεν ἔργα,
τέχνας ἀθανάτης παλάμης πραπίδεσσι δοκεύων.
τερπέσθω βασιλῆος ἐπ' ἠπωρῇσι δίκαιος.
ἰθυνόοις δ' ἅμα πᾶσιν ἀέξεται αἶνος ἀπείρων.

Ψαλμὸς ξδ.

Μέλπε μ' Ἰεζεκιῆλε καὶ Ἱερεμία βόησον,
πῶς τό τε δούλιον ἦμαρ ὑπήλυθον οἱ μετὰ γαῖαν,
ὥς ποτε νηὸν ἄνακτος ἀπὸ προλιπόντες ἔβησαν.
μέλψατε ὑμνήεσσαν ὀδυρόμενοι βασιλῆος·
λαός τ' εὐκλείης σφετέρων χάριν ἀμπλακιάων.
ἑξηκοστὸς ὁμοῦ καὶ τέτρατος ὕμνος ἐτύχθη·

Σοὶ μάκαρ ἐν Σιῶνι μεταπρέπει ἄσπετος ὕμνος,
ἐν δ' Ἱερουσαλὴμ φορέεις παλινάγρετον εὐχὴν,
πᾶν βρότειον λίτεταί σε γένος, σὺ δὲ κέκλυθι ποιμήν·
κλῦθι λιτῆς· σὲ δὲ πᾶσα λιτάζεται ἀνδρομέη σάρξ.
ἰὼ ὀρέης λαθόμεσθ' ἐπέων ἀΐοντες ἀθέσμων,
νῶϊ δὲ θυμὸν ἔχοις ἠπήμονα δυσφροσύνῃσιν·
ὄλβιος ὃς παρὰ σοὶ περιλελεγμένος οἰκία ναίει,
σοῖσι παρ' αὐλείοις κλισίην πήξοιτο μελάθροις.
σεῖο δόμων ἀγαθοῖσι φίλον πλησόμεθα θυμὸν,
ἄχραντος σέο νηὸς ἐπ' εὐδικίῃσιν ἀγητός.
ἀλκτὴρ καὶ βασιλεῦ ξυνῆς ἐπικέκλυθι φωνῆς·
γαίης ἐλπὶς ὅλων περάτων καὶ νόσφι θαλάσσης.
ἰὼ ὀρέῃ σκιόεντα μάκαρ σέθεν οὔρεα τεύχων,
ἀπερίοπλον ζῶμα τεὴν ἐζωσμένος ἀλκὴν,
ὃς μέγεθος κλονέεσκες ἀμετρήτοιο θαλάσσης.
ὡς φορέειν σφετέροιο βίην σθένοι οἴδματος ὁρμήν.
φῦλα βροτῶν κλονέοιντο, φέροιντο δὲ δείματα θυμῷ,

πείρατα ναιετάοντες, ὅπως σφίσι πῆξαο τέκμωρ.
ἠοῦς αἰπολίην καὶ ἑσπερίην ἀναπέρψας·
σκεψάμενος νιφάδεσσιν ἄναξ ἐμέθυσας ἄρουραν,
θήκαο δ' ἀφνειὴν ἀγαθῶν ἐγκύμονα καρπῶν.
ἀθανάτου ποταμὸς πυκινοῖς βέβριθε ῥεέθροις.
καὶ σφίσιν ὥς τε θεὸς βρῶσιν προέηκας ἑτοίμην.
καρποτόκοις εὔφρηνον ἄναξ σέθεν αὔλακας αἴης·
εὔζωον δέ οἱ οὖδας ἄγει πολυειδέα καρπόν·
αἰθερίης ψεκάδεσσι γανύσσεται αὐτέλλουσα.
σῆς ἀνὰ μειλιχίης ἔτεος στέφος αἰνήσειας,
καὶ σέο πιδήεις δάπεδον πλησθήσεται ὥρης.
οὔρεα θηροκόμοιο χλοάοιτο πίον ἐρήμου·
ἀμφιβάλοιντο δὲ χάρμα μετήοροι ὑψόθι βουνοί·
οἰῶν εἰροπόκων βεβριθότες εἰσὶ τοκῆες·
καὶ κοῖλαι φορέοιεν ἅλις ζωαρκέα σῖτον·
εὐφροσύνην βασιλῆος ἀνυμνήσειαν ἅπαντες.

Ψαλμὸς ξε.

Εἴ τις ἀνεγρομένων νεκύων σκέψαιτο βιωτήν,
κλῆσις πῶς βασιλῆος ἐφημοσύνῃσιν ὀπηδεῖ
οὐ μάλα θαυμάσσει· τόδε γὰρ τέλος οἶδεν ἀοιδή·
πέμπτον ὁμοῦ τόδ' ἔφυ καὶ ἑξηκοστὸν ἄεισμα.

ΠΑσα χθὼν βασιλῆϊ θεῷ ἀλαλάξατε μολπήν·
οὔνομα δ' εὐκελάδῳ κιθάρῃ φορμίζετε θεῖον.
εὐφήμοις θεοπρεπὲς ἀείσατε κῦδος ἐπ' ἔργοις.
εἴπατε, σεῖο θεὲ τελέθει μάλα θέσκελα ἔργα·
δυσμενέες ψεύσαιντο τεὴν περιώσιον ἀλκήν.
μέλψατέ μοι χθὼν πᾶσα θεὸν ἰδὲ γουνάζεσθε·
ἡδέα μελπόντων βασιλεῦ τεὸν οὔνομα πάντες.
δεῦτε φίλοι μεγάλοιο θεοῦ κλυτὰ λεύσσετε ἔργα·

ἄσχετος ἐν βουλῇσιν ὑπὲρ μεροπηΐδα φύτλην.
κεκλόμενος πόντον τραφερὴν μετεπήξατο γαῖαν,
καὶ ποταμοὺς κελάδοντας ἐθήκατο ποσσὶ κελεύθους.
κεῖσ' ἅμα γηθήσαιμεν ἐπ' ἀθανάτῳ βασιλῆϊ,
κάρτεϊ νωλεμέως σφετέρῳ μεδέοντι καὶ ἀλκῇ.
φῦλα βροτῶν βασιλῆος ἐποπτεύουσιν ὀπωπαί.
μὴ μέγα μοι φρονέοιεν ὅσοις πολύπικρος ἐρωή.
εὐφήμοις μελέεσσι θεὸν κελαδήσατε δῆμοι,
οὔασι δεχνύμενοι σφετέρην ἀειήκοον αὐδήν.
ὅς τ' ἐμὸν ἦτορ ἔθηκεν ὅπως ζωοῖσι μετείη,
ἴχνος ἐμεῖο ἐν πᾶσι ποδῶν ἀδόνητον ἐρείδων.
ἡμέας ἐφράσθης βασιλεῦ πολυφράδμονι βουλῇ,
εὖ διαγινώσκων ἅτε περ ἄργυρον ἐν πυρὶ χαλκεύς.
ἐν δὲ λίνῳ δολόεντι καὶ οὐκ ἐθέλοντας ἔρυκες.
ἡμετέρων καθύπερθεν ἐθήκαο κήδεα νώτων.
ἡμετέρης κεφαλῇσιν ἐπεστηρείξαο φῶτας.
ὕδωρ καὶ φλογεροῖο πυρὸς διέβημεν ἰωήν·
ἐς δ' ἀνάπαυμα νέης ἐξήγαγες ἡμέας ὥρης.
δῶμα τεὸν θυέεσσιν ἱκοίμεθα καρφομένοισιν·
εὐχωλὰς προτέρης μὲν ὑποσχεσίης ἀποτίσω·
ἃς καὶ πειρόμενός περ ἔφην τὸ πρόσθε τελέσσαι.
θύματα μυελόεντα πυριφλεγέθοντα κομίσσω.
εἰροπόκους κριούς τε μύρου τ' εὐώδεα καπνόν,
ἀμφὶ δὲ χιμάροισι βόας κεραηκέας οἴσω.
κέκλυτέ μευ ξύμπαντες ὅσοι δειμαίνετ' ἄνακτα,
ὅσσ' ἀγαθὰ ἡμετέρῳ τεκτήνατο μυρία θυμῷ.
ἀθάνατον βοάασκον ὑπὸ γλώσσης ἀναείρων·
εἰ δ' ἴδον ἐν πραπίδεσσιν ἐμαῖς ἀθεμίστιον ὕβριν,
νωΐτερον μὴ μῦθον ἄναξ βοόωντος ἀκοῦσαι.
τοὔνεκεν ἡμετέρην πανεπίσκοπος ἔκλυεν αὐδήν,

οὐδὲ

οὐδὲ μευϊκεσίης σφετέρην ἔςρεψεν ὀπωπήν.
αἰνετὸς ὅς ῥ' ἔλεον καὶ ἐμὴν οὐκ ἤλασεν εὐχήν.

Ψαλμὸς ξϛζ.

Εὐκελάδου κιθάρης βασιλήϊος ὕμνος ἐτύχθη,
ἑξηκοστὸν ὁμοῦ καὶ μῆος ἕκτον ἔχων.

ΗΜέας οἰκτιρήσαις ἄναξ ἀγανήμονι βουλῇ·
ἄμμι δὲ σὴν ἀείδηλον ὑπερλάμψαις ὀπωπήν,
ὄφρα τεὴν κατὰ γαῖαν ἐπιφρασσόμεθα κέλευθον,
ἔθνεσι δ' ἀλλοδαποῖσιν ἀλεξίκακον σέο φέγγος.
σὸν κλέος ὑμνήσοιεν μάκαρ πανυπέρτατε λαοί·
σὸν κλέος ἀμφιβόητον ὅλοις λαοῖσι μελέσθω.
ἔθνεά τοι κεχαροίατ' ἀγαλλόμενα μολπῇσιν·
οὕνεκεν εὐδικίῃσι κρινεῖς μεροπηΐδα φύλην,
ἔθνεσι δ' ἡγήσαιο φίλην μετὰ γαῖαν ὁδεύειν.
σὸν κλέος αἰνήσοιεν μάκαρ πανυπέρτατε λαοί·
σὸν κλέος ἀμφιβόητον ὅλοις λαοῖσι μελέσθω.
καρπὸν ἀνεβλάστησεν ἑὸν φυσίζοος αἶα.
ἡμέτερος θεὸς ἄμμι πόροι χαριέστατον αἶνον,
αἶνον ἄναξ πόροι ἄμμι· τρέσοι δὲ ἑ πείρατα γαίης.

Ψαλμὸς ξζ.

Δαβίδου πινυτοῦ μελέον βεβολημένος ὕμνος,
ἑξηκοστὸν ἔχων, ἑβδόματόν τε τόπον.

ΑΦθιτος αἰνήτω, σκέδασιν δ' ἐχθροῖσιν ἐνίσσοι,
δυσμενέες δ' ἀπάνευθεν ἐπιστροφύγοιεν ὀπωπῆς·
ὧδε μάλ' ἐκλείποιεν ἀμήχανος ἠΰτε καπνός·
ὡς δ' ὅτε τηκόμενος φλογερῷ πυρὶ κηρὸς ἀμερθῇ,
ὡς ὁσίων ἀπολοίατ' ἀπὸ βλεφάροισιν ἀλεῖται·
ἀλλά τοι εὐφραίνοιντο δίκης ὑποφήτορες ἄνδρες.

αἰεὶ θεσπεσίων κεχαρηότες αἴτιον ὄσσων,
ἐκ θυμοῦ γλυκερῇσι γεγηθότες εὐφροσύνῃσιν.
ἄσατε τὸν βασιλῆα καὶ οὔνομα μέλψατε θεῖον.
τεύξατε ὁδὸν χαρίεσσαν ὑπὲρ δύσιος βεβαῶτι.
ἄφθιτος ἄφθιτος οὗτος, ἄναξ δέ οἱ οὔνομ' ἐτύχθη,
καί οἱ θεσπεσίοιο πέλας κεχάροιτο προσώπου.
πάντες ὀρινέσθωσαν ἑῆς διὰ τάρβος ὀπωπῆς,
χηρῶν ἡγεμόνος τε ὀρφανικῶν γενετῆρος.
ἄχραντος δαπέδοισιν ἐπ' ἀχράντοισι μέμηλεν.
αὐτὸς μουνοτρόποισι χαρίζεται οἰκία ναίειν,
ἐκ δ' εὐλωοέρης πεπεδημένον ἐσμὸν ἔλυσεν,
ἐκ δὲ τάφων φθιμένοις βιότης μετὰ φέγγος ἀγινεῖ.
ἀββάλε πῶς τὸ πάροιθεν ἄναξ ἡγήσαο λαῶν·
πῶς ποτὲ κυδήεν δάπεδον μετέπεσκεν ἐρήμου.
χθὼν μὲν ὅλη δεδόνητο, κατείβετο δ' οὐρανὸς αἴθων·
αἴτα θεοῦ Σίναόνδε πολύλλιτον οὖδας ἀκούοι,
αἴτα θεοῦ βασιλῆος, ὃς Ἰσραῆλον ἔειδε.
ὑετὸν ἐσθλὸν ἑκὼν βασιλεῦ χθονὶ σεῖο περιπέμποις.
καὶ γὰρ ἀνεστήριξας ὀϊομένην ἀπολέσθαι·
καί μιν φῦλα τεῆς ἀγέλης περιναιετάουσι.
πτωχῷ μειλιχίης ἐπιτάρροθος ἦλθες ἑτοῖμος.
καρτερὰ σημαίνουσιν ἄναξ ἔπος ἰθύνειε,
τηλυγέτου σθενέων ἡγούμενος υἱέος ἐσθήν·
υἱέος ὃς διὰ σκῦλα δόμου μοιρήσεται ἐσθλοῦ·
εἴκεν μεσσάτιοι κλήρων κατακοιμηθῆτε,
ἀργύρεα τρήρωνος ὅπως πτερὰ καλὰ πελείης.
ἧς χλωρὴ χρυσοῖο μετάφρενον ἀμφέβαλ' ὥρη,
ἀθανάτου πέμποντος ἑοὺς βασιλῆας ἐπ' αὐτῇ.
ἐν Σελμῶνι χιὼν σφέτερον δέμας ἀμφικαλύπτει.
θεῖον ὄρος, πολυανθὲς ὄρος μάλα πῖον ἐτύχθη,
πῖον ὄρος, πηχθέντι πανείκελον ἔπλετο τυροῦ.

ὑψηλέ μοι οὔρεα πάντα δοκεύετε πυρώεντα·
τοῦτ' ὄρος, ᾗχι θεὸς καταθύμια δώματα ναίει.
κεῖσε μάκαρ κλισίην ἀέναον ἕο πάντοτε πήξει·
μυρίον ἅρμα θεοῦ, πολέες δ' ἐπ' αὐτὸ χορεῦται.
ἔνθα μάκαρ Σιναίοιο μεθ' ἀχράντοιο θεμέθλοις;
ὕψος ἀειρόμενος ληΐσατο ληΐδα πολλήν.
αὐτὰρ ὁ δωτίνας μεροπηΐδος εἷλε γενέθλης·
καὶ γὰρ ὑπερβασίῃ παρναιέμεν ἠρνήσαντο.
αἰὲν ἄναξ ἀγαθὸς καὶ ὑπέρτατος αἰνετὸς ἔστω;
αἰνετὸς αἰὲν ἄναξ κεκλήσεται ἦμαρ ἐπ' ἦμαρ.
φέγγεος ἡμετέροιο διαμπερὲς ἡγεμονεύει.
ἔργον ἐμοῦ βασιλῆϊ πέλει χατέουσιν ἀρήγειν.
μοῦνος ἄναξ δεδάηκε καὶ ἐκ θανάτοιο σαῶσαι.
ἔμπα γε μὴν σφετέρων δηίων θραύσειε κάρηνα,
ἀκροκόμον κορυφήν, οἷς ἐνὶ φρεσὶ θυμὸς ἀλείτης.
εἶπεν ἄναξ βασάνηθεν ἐπιστρέψαιμι πεποιθώς,
αὖθις ὑπ' ἀτρυγέτοιο παλίσσυτος εἶμι θαλάσσης·
ὄφρα τεὴν τέγξειας ἀκήρατον αἵματι πέζαν,
αἰτιβίων σέο γλῶσσα κυνῶν σέθεν ἢ δέ οἱ αὐτοῦ.
ἀμφαδίην ἄχραντε τεὰς βροτοὶ εἶδον ἀταρπούς;
ἴχνια τοῦ βασιλῆος ὑπ' εὐαγέεσσι θεώκοις.
ἄσσον ἀειδόντων μετεκίαθον ἡγεμονῆες,
μιγνυμένων τυπάνοισι μέσοι διὰ παρθενικάων.
πιστὸν ἐνὶ κλισίῃσι φίλον κελαδήσατ' ἄνακτα
ἄφθιτον ἐκ πηγέων ἀγανόφρονος Ἰσραήλου.
κεῖσε Βενιαμίνη δὲ μετὰ χθονίῃ πέλεν ἥβῃ,
τῶν δ' ἔσαν ἡγητῆρες ὅσοι πάρος ἦρχον Ἰούδα·
Ζαβουλῶνος ὁμοῦ πρόμαχοι καὶ Νεφθαλίμοιο.
κάρτεϊ ἡμετέρῃ τεῷ ἐπιτέλλεο τιμήν·
ἄμμι τόπερ τέκτηνας ἐΰσαθὲς ἄλκαρ ἐρείδεις;

εὐαγὲς ἐκ νηοῖο μετεσσύμενοι τεὸν ἄστυ·
δῶρα περικλήεντι θεῷ βασιλῆες ἀγέσθων·
θηρσὶν ὀρεσσικόμοις δόνακος τρήχειον ὁμοκλήν.
δημοτέρας δαμάλας μεταινίσσεται ἔθνεα ταύρων,
ὄφρά κεν ἐξείργοιντ' οἷς ἄμφαδον ὦνος ἐτύχθη.
φῦλα βροτῶν ἄχραντε φιλοπτολέμων κεδάσειας,
λισσόμενοι σπεύσουσιν ἀπ' αἰγύπτοιο πλήων·
χεῖρας δ' ἀθανάτῳ τανύσει γένος αἰθιοπήων.
κοιρανίαι βασιλῆα λιγαίνετε πάντοθεν αἴης,
εὐκελάδῳ κιθάρῃ φορμίζετε ποιμένα κόσμου.
μέλψατε αἰπολίης πόλον ἐκ πόλου ἐμβεβαῶτα.
αἶνον ἀποφθέγξοιντο φίλον ζωαρκέϊ φωνῇ·
κῦδος ἀπειρέσιον κελαδήσατε παμβασιλῆϊ,
αἰὲν ἐπ' Ἰσραὴλ ἔχει μεγαλοπρεπὲς εὖχος·
καὶ σθένος αἰθερίῃσιν ὁμοῦ νεφέλῃσιν ἀγητόν.
ἀθάνατος θνητὸς ἑοῖς ὁσίοισι μεμηλώς·
ἀλκὴν ἠδὲ σθένος ἐσθλὸν ἄναξ πόροι Ἰσραήλῳ.
πάντοτε παμβασιλεὺς ἀειδείκετος αἰνετὸς ἔστω.

## Ψαλμὸς ξη΄.

Δαβίδου κραδίης ὕμνος ἀμειβομένης,
ἑξηκοστὸν ἔχων ὄγδοατόν τε μέρος.

Ἐξ ὑδάτων με σάω βασιλεῦ· τὰ μὲν ἄμφεπεν ἦτορ.
βύσσῳ ἐν ὑλήεντι παγεὶς βιότοιο χατίζω·
νισσόμενον πόντοιο βυθῶν κατά μ' εἷλε καταιΐξ.
καρφαλέως βοόωντος ἐμὸς τρηχύνετο λαιμός.
ὤλεσα φέγγος ἄνακτα θεὸν δεδοκημένος ὄσσοις·
οἵ με μάτην συγέοντες ἐμῶν πλέον εἰσὶ κομάων.
οὕς τ' ἀδίκως τρομέεσκον ἀπεχθέας, δήμιοί εἰσιν.
ἀφραδέως ἅρπαγμα, τό, μὴ μάθον αὐτὸς ἔτισα·

οἶδας σὺ ἄναξ ὅσ' ἔρεξα χαλιφροσύνῃσιν ἐμῇσιν,
οὐδὲ τεῆς ἔκρυφθεν ἀτασθαλίαι μευ ὀπωπῆς.
μήποτ' ἄναξ ἔῃ σοι αἶσχος ὅσοις θεὸς ἔργον ὁρᾶσθαι,
μηδὲ θεὸν ποθέων τις ἀνὴρ μωμητὸς ἀκούσῃ.
εἵνεκά σου βασιλῆος ὀνείδεα τετλήκαμεν,
τλήσομαι, εἴ κεν ἔρευθος ἐμὸν ῥέθος ἀμφικαλύψῃ.
ἀλλοδαπὸς γενόμην, καὶ ἐμοῖς ἄκληρος ὁμαίμοις·
καὶ ξεῖνος γλυκερῆς τε ἐνηέος υἱάσι μητρός.
οὕνεκα δαρδάπτων με τεοῦ πόνος εἷλε μελάθρου.
σεῖο δ' ἐπεσβολίῃσιν ἐμὴν φρένα δάκνομαι ἐχθρῶν.
νηστείης καμάτοισι κατέκλασα θυμὸν ἐμεῖο,
καὶ τό με νηστεύειν ἐπ' ὀνείδεσι τεκταίνοντο.
πέπλον ἐμὸν χαρίεντα θέμην ἅτε πένθιμον εἷμα·
ἀλλὰ καὶ ὥς, γενόμην σφετέρῃς γλώσσῃσι λάλημα.
ἀμφ' ἐμέθεν μέλποντο καθεζόμενοι περὶ πυλάων.
εἰς δ' ἐμὲ φορμίζεσκον ἅλις βεβαρηότες οἴνῳ.
αὐτὰρ ἐγὼ κάλεόν σε διηνεκέως λιτανεύων·
καιρὸς ἄναξ ὅτε δήμοι ἑκὼν ἀναφανδὰ παρείης.
κλῦθι τεῆς ἐλεημοσύνης παμπληθέϊ ῥοίζῳ·
σεῖο δ' ἀληθείης μοι ἄναξ μέγα φέγγος ὀπάζοις,
ἐκ πηλοῦ με σάωσον ὅπως διὰ τέλμα φύγοιμι.
ῥύεο δυσμενέων με μάκαρ βυθίων τε ῥεέθρων·
μή κε ποτ' ὑδατόεσσα καταβρώξειε καταῖξ,
μηδέ με λευγαλέος βρύχιον βυθὸς ἔνδοθι μάρψῃ·
μηδέ με ἀμφιβάλῃσιν ἑὸν στόμα βόθρος ἀπείρων.
κέκλυθι μειλιχίῃ φορέων οἰκτίρμονα θυμόν·
πλήθεϊ δ' οἰκτιρμῶν πανεπίσκοπον ὄμμα τιταίνοις·
μήποτέ μοι σέο παιδὸς ἀποστρέψαις ὀπωπήν·
αὐτίκα τειρομένοιο μάκαρ πανυπέρτατ' ἀκούσαις·
ὄμμασι νωΐτερον πανδερκέσι θυμὸν ἐρύκοις.

οὕνεκεν ἡμετέρων δηΐων βασιλεῦ με σαώσοις·
οἶσθα γὰρ αἶσχος ἐμὸν καὶ ὀνείδεα καὶ μέγα πένθος.
ἄντα σέθεν σύμπαντες ἐμῇ μεμβλημένοι ἄτῃ·
μῶμον ἐμὸς λώβην τε μετὰ φρεσὶν ἕσπετο θυμός.
οὐδέ μοι ἀλγινοῖσιν ὁμήγυρος ἤλυθεν ἀνήρ·
οὐδ' εὗρον πόθεν ἄμμι πέλοι παραμύθιον ἄτης.
βρώματι νωϊτέρῳ θυμοφθόρον ἔμβαλον ἰόν,
καί μοι διψαλέῳ θανατηφόρον ὤπασαν ὄξος.
τοῖσι λίνον τεύχοιτο πολύπλοκον ἀντὶ τραπέζης,
θήρη καὶ δολόεσσα πάγη καὶ μισθὸς ἐπ' ἔργῳ.
σφωϊτέρην κακότεχνον ἀποσβέσσειας ὀπωπήν·
καὶ σφέων ἰξὺν ἐκέως καμάτῳ κατὰ νῶτα δαμάσσοις.
καδδὲ κότον βαρύμηνιν ἐπὶ σφίσι πάντοτε τεύχοις,
καὶ σφεας ἀμφιβάλοι θολερῆς σέο μήνιδος ὁρμή.
ἔστω πουλυβότειρα μετὰ σφίσιν αὖλις ἐρήμη,
μηδέ τις ἐν μεγάροισιν ἑοῖς ναετῆρα κιχάνοι·
οὕνεκεν ὃν ῥ' ἐπάταξας ἄλις ποθέεσκον ἐκεῖνοι,
πληγῇς ἡμετέρῃσι καὶ ἄλγεσιν ἄλγεα θέντες.
ἀμπλακίην ἐπέγραψον ἐπ' ἀμπλακίῃσιν ἑῇσι·
μηδὲ δικαιοσύνῃ πίσυνοι σέο θῶκον ἱκέσθων.
θᾶσσον ἀποσμήχοιντο φερεζώων ἀπὸ βίβλων·
μηδέποτ' εὐδικίης ναέταις ἐναρίθμιοι εἶεν.
πτωχὸς ἐγὼ τελέθω καὶ κήδεα μυρία πέσσω·
ἀλλ' ἴσχω βασιλῆος ὑπέρμαχον ἄλκαρ ὀπωπῆς.
αἰνετὸν οὔνομα θεῖον ἀνυμνήσαιμι χορδῶν,
καί μιν ἀνυψώσαιμι διαμπερὲς αἰνετὰ μέλπων.
ἡβητὴν δ' ἀρέσσειν ὑπὲρ μόσχον βασιλῆϊ,
ὃς νέον ἡβώῃ πίσυνος κεράεσσι καὶ ὁπλαῖς.
πτωχοῦ δερκομένοιο νόος πραπίδεσσι χαρείη·
ποιμένα δίζεσθε ψυχέων βιότοιο δοτῆρα·

οὕνεκεν ἀθάνατος βασιλεὺς ὑπάκουσε πενιχροῦ·
οὐδ' αὔτως μεθέηκε κακοῖς πεπεδημένον ἄνδρα.
οὐρανοὶ ἀμφί τε γαῖα χορευόντων βασιλῆϊ,
πόντος ἀπειρέσιος καὶ ὅσα τρέφει οἶδμα θαλάσσης.
οὕνεκεν ἀθάνατος βασιλεὺς Σιῶνα σαώσει·
ἄστεα δ' ἀνστήσειεν Ἰουδαίης ἐρατεινῆς.
καί μιν ναιετάοντες ὅλην κτήσαιατο κλήροις·
καὶ δμώων σφετέρων γενεὴ σύμπασαν ἐρύξει.
ἀμφαγαπαζομένοισι περικτιόνεσσι μελέσθω.

Ψαλμὸς ξθ'.

Τὸν πάντα γινώσκοντα μιμνήσκων θεὸν
Δαβίδος εἶπεν, σῶζε δή με δέσποτα·
ὁ δ' ὕμνος ἑξηκοστὸς ἔνατος τυγχάνει.

ΑΦθιτε νωΐτερην σκοπιάζεο πάντοθ' ἀρωγήν.
αἶσχος ἕλοι δ' ὅσοι ἦτορ ἐμὸν μεμάασιν ὀλέσσαι.
σχεφθείη μεταμητὸς ὅμιλος κακὰ βυσσοδομεύων.
αὐτίχ' ἕλοι τοὺς δ' αἶσχος ἐμῇ κεχαρηότας ἄτῃ.
χάρμα καὶ εὐφροσύνη ὅσιον γένος ἀμφιπολεύοι,
πάντοτε βαζόντων μεγαλαυχέα δῶρα θεοῖο,
ὅσσα τοι ποθέουσιν ἀλεξίκακον σέο φέγγος.
ἄγχος ἀλεξήσαις πτωχοῦ μάκαρ ἠδὲ πενιχροῦ,
μήποτε δηθύνειας ἐμοὶ καλέοντι παρεῖναι.

Ψαλμὸς ο'.

Παῖδες Ἰωναδάβου μεγαλήτορος, οἳ τὸ πάροιθεν
ἐνναέται Βαβυλῶνος ἄγον κατὰ δούλιον ἦμαρ,
ἑβδομάτης δεκάδος λιγυρὸν μέλος ἐντύναντο.

ΜΗ με καταισχύνειας, ἐπεὶ σύμβολ' ἐλπὶς ἐτύχθης·
σὴ μάκαρ εὐδικίη περικήδεο καί με φύλασσε.
ἐμμαπέως με σάω, κλίνας ἀειήκοον οὖας·

νώϊτερος θεὸς ἔσσο κατ' ἔχθεος ἀσπιδιώτης,
ἔμπεδος οἷά τις οἶκος, ὅπη κακὸν ἔστιν ἀλύξαι·
αὐτὸς ἐμοὶ πολύχαλκον ἔδος καὶ εὐσθενὲς ἄλκαρ.
ῥύεο δὴ παλάμης βασιλεῦ κακοεργέος ἀνδρός·
ἐκ παλάμης ἀδίκου τε δυσνομίην ποθέοντος.
οὕνεκεν ἦπις ἐμὴ πανυπέρτατε αἰὲν ἐτύχθης·
ἐλπὶς ἀεξώουσα καὶ ἐκ νεοθηλέος ἥβης.
σοὶ περιθαρσὴς ἐκ νηδύος εἰμὶ τεκούσης.
αὐτὸς μοι σκέπας ἦσθα φίλης ἐν γαστέρι μητρός.
ἐν σοί μευ πανάειστε πέλει φιλόμολπος ἀοιδή,
ὤισθλῳ βιότοιο πέρας πολέεσσι τετύχθαι·
ἀλλά μοι ἀλκήεις ἐφάνης μετὰ τοῖσιν ἀρωγός.
πλῆρες ἐμοὶ χάριεν μελέων στόμα πάντοθεν εἴη,
ὄφρα μάκαρ σέο κῦδος ἀγήραον ὑμνοπολεύσω·
σεῖο πανημέριον μεγαλοπρεπὲς εὖχος ἀείδων.
μή με μεθῇς ἄχεϊ ἀντὶ κακῶν περὶ γήραος οὐδῷ·
εὖτε βίην ὀλέσαιμι φίλην ποτὲ μή με μεθήῃς·
οὕνεκά μοι τάδ' ἔφαντο κακοὶ καὶ ἀνάρσιοι ἄνδρες,
ψυχῆς ἡμετέρης φύλακες σκέψαντο μολόντες,
ἀθάνατον βάζοντες ἑὸν θεράποντα μεθῆναι·
σπεύσατε καί μιν ἕλεσθε, ἐπεὶ νύ οἱ οὔτις ἀρωγός·
ἀλλὰ σὺ παμβασιλεῦ μή μευ ποτὲ νόσφι τραπήῃς·
μηδ' ἀλαοσκοπίην ἐμέθεν χατέοντος ἕλεσθαι.
αἶσχος ἔοι, ὅσοι ἦτορ ἐμὸν βάλλοισι κακοῖσι·
μῶμος ἔοι καὶ ἔρευθος, ὅσοι κακά μοι φρονέουσιν.
αὐτὰρ ἐγὼ βασιλῆϊ θεῷ περιθάρσυνος εἴην,
καί οἱ αἰνετὸν ὕμνον ἔτι πλέον ἢ πρὶν ἀείσω.
ἡμέτερον στόμα σεῖο δικαιοσύνην ἀγορεύσει·
σεῖο πανημέριον φάος ἄφθιτον ὑμνοπολεύσω.
ἐμπορίης ἀδάητος ἐὼν καὶ ἐλεύθερος ἄτης·

θαρσαλέος μετὰ νηὸν ἐλεύσομαι ἀθανάτοιο,
σεῖο δικαιοσύνης βασιλεῦ μεμνήσομαι οἴου.
ἐξ ἥβης μ' ἐδίδαξας ἄταρ θέμις ἄφθιτε ποιμήν·
τοὔνεκα θέσκελα ἔργα καὶ ἐς τόδε σεῖο βοήσω.
μή μ' ἀπογηράσκοντα μάκαρ πολιόντε μεθήης,
εἰσόκεν ὀψιγόνοισι βραχίονα σεῖο προφήνω,
σὸν σθένος ἀγγέλλων καὶ σὴν δίκην ἐρατεινήν,
ὑψίστων ἐτέλεσσας ἕως μεγαλαυχέα ποιμήν.
τίς νύ τοι ἄλλος ὅμοιος ἐμοὶ τόσα κήδεα τεύχων·
καί με πάλιν στρέψας, βιότου πόρες ἄσπετον ἀλκήν.
πυθμένος ἐκ γαίης δνοφερῆς βυθίου μ' ἐκάλεσσας.
σεῖο μοι εὐδικίης περιώσιον ἔβλυσας ἀλκήν,
καί μευ ἐπιστρέψας, προτέρην ἰήσαο νοῦσον·
πυθμένος ἐκ γαίης δνοφερῆς βυθίου μ' ἐκάλεσσας.
καὶ γὰρ ἀνυμνήσω σε μάκαρ πανδημέϊ μολπῇ,
μέλπων ἐν κιθάρῃ πανακήρατον Ἰσραῆλον.
ἀμφὶ σὲ μελπόμενος μέγα χείλεσι γηθήσαιμι,
ψυχῇ τε, τὴν ῥ' ὀλοῶν βασιλεῦ ἀπελύσαο νούσων.
πρὸς δ' ἔτι μευ καὶ γλῶσσα δικαιοσύνην σέο μέλψει·
εὖτε καταισχυνθῶσιν ἐμὸν διζήμενοι ἄλγος.

Ψαλμὸς οα.

Ἴστ' ἄρα παισὶν ἐὴν ἀνεπίγραφον ἑβραίοισιν
ἡδὺ μέλος Σολομῶνι πολυκλεέεντι μεμηλός.
ἑβδομάτης δεκάδος πέλεται καὶ πρῶτον ἄεισμα.

Εὐδικίην βασιλῆϊ πόροις σέο φέρτατε ποιμήν,
παιδί τε σὴν προΐαλλε δικαιοσύνην βασιλῆος.
ὄφρα διακρίνωσιν ἐπ' εὐδικίῃ σέο λαόν·
πτωχοῖς δ' ἀκτεανοῖσι δίκην δικάσωσιν ἀείστην.
οὔρεσιν εἰρήνην ἀτειρὴν βουνοῖς τε μεθιέσθω.

πτωχῶν δημοτέροισιν ὑπ' εὐδικίῃσι δικάζειν.
ἀκτεάνων δ' ἅμα παισὶν ὀρινομένοισιν ἀρήγειν.
ἐκ ῥηξηνορείης καθέλοι ψευδήγορον ἄνδρα,
ἠελίῳ φαέθοντι διαμπερὲς ἶσα φαείνοι.
πάντας ὑπερλάμπων κεραῆς προπάροιθε σελήνης,
ὑψόθεν ἠρεμέων ὡς ὑετὸς ἐς πόκον ἥξοι·
ὡς γαῖαν νιφάδεσσιν ὅτ' οὐρανὸς ἥσυχα βάλλει.
ἔσσεται ἡμέρῃ ἥδε δικαιοσύνης τότε μήτηρ,
εἰρήνης τ' ἐρατῆς, μήνης σθένος εἰσόκε λάμπῃ.
ἐξ ἑτέρης ἑτέρην δὲ κράτος τανύσειε θαλάσσης.
ἐκ δ' ἱερῶν ποταμῶν μετὰ πείρατα μυρία γαίης·
αὐτὸν φῦλα θοῶς γουνάσσεται αἰθιοπήων·
δυσμενέες δέ οἱ ἀμφὶ κόνιν λείξουσι δαμέντες.
οἴσατε νῆσοι δῶρ', ἅμα δ' οἴσατε Ταρσίδος ἀρχοί·
ἐκ δ' ἀράβων Σαβίων τε πολύλλιτα δῶρα φερέσθω.
γαίης μιν βασιλῆες ὅλης ἅμα γουνάσσαιντο.
ἔθνεά οἱ παντοῖα ποτὶ ζυγῷ αὐχένα θείη.
πτωχὸν ἐπεὶ παλάμης σθεναρῶν ἀπελύσατο φῶτα,
καὶ πενίῃ βλαφθέντα ᾧ μὴ πέλας ἔσκεν ἀμύντωρ.
πτωχοῦ λευγαλέου πεφείσεται ἠδὲ πενιχροῦ,
ψυχάς τ' ἀκτεάνων ὀλοῆς ἀπολύσεται ἄτης.
ἐκ τόκου ἔκ τ' ἀδίκοιο βίης σφέας ἐξαρπάσσει·
τῶν δ' ἄρα οἱ κατέναντι φανήσεται οὔνομ' ἀγητόν.
ζήσεται, ἀρραβίη οἱ γέρας χρυσοῖο κομίσσοι,
ἀμφ' αὐτοῦ βασιλῆα λιτῆς καλέσειεν ἀπαύστοις,
καί ἑ πανημέριον ἀγαθοῖς μεταψαίατο κώμοις·
οὔρεσιν ἀκροτάτοισιν ἔδος κλυτὸν ἔσσεται αἴης.
πρότερον λιβάνοιο φέροι μελιηδέα καρπόν.
ἄστεος ἀντέλλοιεν ὅλης ἅτε χόρτος ἀρούρης.
αἰνετὸν οὔνομα θεῖον ἐπ' ἀλήκτοισι γενέθλαις,

ἠελίου προπάροιθε μένει κλυτὸν οὔνομα θεῖον,
λαμπόμενον καὶ πρόσθε φαεσφόροιο σελήνης.
ἀμφ' αὐτῷ τριπόθητον ἔχοι κλέος ἔθνεα γαίης,
ὄλβιστον καλέσαν ἀεὶ θεὸν ἔθνεα πάντα.
αἰνετὸς αἰὲν ἔφυ θεὸς ἄφθιτος Ἰσραήλου,
ὃς καὶ μοῦνος ἀεὶ τελέει περιθαμβέα ἔργα.
αἰνετὸν οὔνομα θεῖον ἐϋκλείῃσι μεμηλός,
καὶ νῦν, καὶ μετέπειτα, καὶ ἐσσομένῃσι γενέθλαις.
γαῖαν ὅλην πλήσειε θεοῦ κλέος, ὧδε γενέσθω.

## Ψαλμὸς οβʹ.

Δαβίδου μὲν ἐπαύσατο θεσπεσίη φρήν,
παιδὸς Ἰεσσαίου ὀλιγοδρανίης.
Ἀσαφος δ' ἀνόρουσε καὶ ἴαχε πνεύματι θείῳ
ἑβδομάτης δεκάδος δεύτερον ὕμνον ἱείς.

Πῶς πόσον ἰθυνόοις ἀγαθὸς θεὸς Ἰσραήλου·
καί κεν ἐμεῖ κλονέοντο πόδες περὶ βαιὸν ἀνάγκῃ,
καί μου ἔνθα καὶ ἔνθα κατέρρεον ἴχνια πέζης.
οὕνεκα δὴ κατὰ θυμὸν ἐμὸν φθονέεσκον ἀλείταις
εἰρήνην ἐπιδερκόμενος κακότητος ἐελδῶν.
τοῖσιν ἄφυκτος ἀεὶ καὶ ἀνόσιμος ἔπλετο πότμος,
καὶ στεναραὶ μάστιγες ἐπὶ πληγῇσι βαρείαις.
ἀνδρομέων καμάτων ἀδαήμονες αἰὲν ἔασιν.
οὐδὲ γὰρ ἀνθρώποισι κατὰ χρέος ἶσα δαμεῦν·
ἔνθεν ὑπερβασίῃ κραδίης καταβεβρίθασι.
καί σφεας δισινομίη ἀθεμίστιος ἀμφιπολεύει
οἷά τε παλλήν τις ἐν περιζεύσεται ὕβρεις.
ἔσχον ἀμφαφόωντες ἑοῦ μενεδήματα θυμοῦ,
στήθεσιν ὁρμαίνοντες ἀθέσμια μυθίζοντο,
οὐλομένης ὕψιστον ἐπεσβολίῃσιν ἔδειμον.

λάβρον ἐὸν σῶμα θέντο καὶ οὐρανοῦ ἄχρι πυλάων,
γλῶσσαν ἀερτάζοντες ὅλης ὑπὲρ αὔτυγα γαίης.
τοὔνεκ' ἐπισχέψειν ἐμὸς πάλιν ἐνθάδε λαός.
ἤματα δὲ πλήθοντα μετ' σφίσι πάντα φανείη.
εἶπα δέ, πῶς ἄρα ταῦτα θεὸς πραπίδεσσι νοήσει·
εἰ δ' ἐτεὸν βασιλεὺς πανυπέρτατός ἐστι νοήμων,
πῶς οἵδ' ἀμπλακίης ὑποφήτορες εὐφραίνονται,
ἀσφαλέως πλούτοιο διηνεκέως κρατέοντες.
μὴ τάχα μαψιδίως ὅσιον νόον εἶπα φυλάξαι,
νιψάμενος καθαρὰς παναχηράτῳ ὕδατι χεῖρας.
ἤματος μάστιγι δέμας δεδμημένος αὔτως·
ἠῶθεν κρατεροῖς βεβολημένος ἦτορ ἐλέγχοις.
ὠϊσάμην πόθεν ὧδε περιφραδέως ἀγορεύσω·
παίδων σῶν γενεῇ τῇ ὁμῶς κατατήκομαι ἔργοις.
αὐτὰρ ἐγὼ πινυτοῖσι περιφρασάμην πραπίδεσσιν.
ἐκ δ' ἐφάνη τόδε μόχθος ἐν ὀφθαλμοῖσιν ἐμοῖσιν,
εἰσόκεν εἰσέλθοιμι θεοῦ παναχήρατον οἶκον·
καὶ σφετέρων θαλάμων πύματον τέλος ἐξερεείνω.
τοῖσι πόνον δολίων ἀντάξιον ὤπασας ἔργων,
ὑψοῦ ἀειρομένοις πέλασας χθονίοισι θεμέθλοις.
ἐξαπίνης πόθεν ὧδε δάμεν μάλα χηρωθέντες·
ἀμπλακίης σφετέρης ὀλιγοδρανέοντες ὄλοντο.
ὡς δ' ὅταν ἐγρομένων λεχέων ἀλαπαδνὸν ὄνειρον,
οὕτως σφωΐτερον μετ' σὴν πόλιν εἶδος ἀμέρδοις.
τοὔνεκά μευ βαρύμηνις ἐνὶ φρεσὶ καίετο θυμός·
ἡμέτεροι δ' ἤμειφθεν ἀμηχανίης ὕπο νεφροί·
αὐτὰρ ἐγὼ μάστιγι δαμεὶς οὐκ ᾔδεα θυμῷ,
κτῆνος ὅπως γενόμην παρὰ σοί, πανυπέρτατε ποιμήν,
σεῖο διηνεκέως ἀγαθοῖς μεμνημένος ὄαροις.
δεξιτερῆς κρατέεσκες ἐμῆς παναχήρατε χειρός,

σῆς ὑποθημοσύνης ἐμέθεν μάκαρ ἡγεμονεύσας,
καὶ σῇ εὐκλείῃ με κομίσσαο κυδιανείρῃ.
τίς νύ μοι οὐρανίοισι πέλει μετὰ δώμασιν ἄλλος,
ἢ τίς σεῖο κατὰ γαῖαν ἐγὼ πλέον ἤθελον ἴσχειν.
τήκετό μοι κραδίη καὶ ἐμὸν δέμας ἄφθιτε ποιμήν,
νωλεμέως δέ μοι αἶσα τελευτήσασα λέλασται.
οἱ δ' ἀπονοσφισθέντες ἄδην ἀπολοίατο πάντες.
μαχλοσύνης ἀλέγοντας ἀδευκεῖ δῶκας ὀλέθρῳ.
αὐτὰρ ἐμοὶ βασιλῆϊ πελασσέμεν ἐσθλὸν ἐτύχθη·
ἀθανάτῳ τε ἄληκτον ἐμὴν θεῷ ἐλπίδα θέσθαι·
ὄφρα πύλης Σιῶνος ἄναξ τεὸν αἶνον ἀείσω.

## Ψαλμὸς ογ΄.

Ἀσάφου πινυτῆς θεοπρεπέος εἴκελος ὕμνος
ἑβδομάτης δεκάδος ἀμφὶ τρίτος τελέθει.

ΕΣπ' διηνεκέως ἡμέας ἐξώσαο ποιμήν.
ἐκ τίς δ' ἐπεθωρήχθη οἴων περὶ πώεσι μῆνις.
μνῆσαι σῆς κλισίης, ἣν προεκπεπάσαο μούνος·
αὐτὸς σκῆπτρον ἔρυσο τεῆς βασιληΐδος αἴης.
κλεινὸν ὄρος Σιῶνος ὅθι κλυτὰ δώματα ναίεις·
χεῖρας ὑπερβασίησι τεὰς σφετέρης ἐπαείροις.
ὅσσά περ εὐαγέεσσι κακῶς ἐπεμήσατ' ἀλείτης,
δυσμενέες τ' εὔξαντο τεῆς κατὰ μέσσον ἑορτῆς.
οὐκ ἐδάησαν ἑὰ σημήϊα σήματα θέντες,
οἷά περ εἰσίθμης σκηνῆς βεβαῶτες ἔνερθεν·
ὡς δρυμὰ τῆσδε θύρησιν ἐπέχραον ἀξίνῃσι.
ῥηγνῦντες πελέκει καὶ τέκτονος ἔντεσι φωτός.
πρὸς δὲ σέθεν πρήσαντες ὅλον θεοπρεπέα νηόν,
ἐν χθονὶ θέντο βέβηλον ἀκήρατον οὔνομα σεῖο.
ἔννεπον ὃν κατὰ θυμὸν ἀγειρόμενοι τάδε παισί.

δεῦρ' ἴτε παύσοντες μάκαρος κατὰ γαῖαν ἑορτάς.
οὐδὲ γὰρ ἡμείων σημήϊα ἐφρασάμεσθα,
οὐκέτ' ἄναξ θεὸς ἄμμιν ἐπίσκοπος οὐδὲ προφήτης.
εἰπὲ μάκαρ τέο μέχρις ἀνάρσιος ὕβριν ὀφέλλει,
νωλεμέως δ' ἐρέθει τεὸν οὔνομα δήϊος ἀνήρ.
τίπτε μάλ' ὧδ' ἔσχεψας ἀλεξίκακον σέο χεῖρα,
καὶ σέο δεξιτερὴν μέσσῳ περικάτθεο κόλπῳ.
ἀνδρομέου καὶ πρόσθε βίου θεὸς αἰὲν ἀνάσσει,
ἄμμι δὲ φέγγος ἐὸν τεκτήνατο μεσσόθι γαίης.
ἔμπεδος ἔσσι τεῷ περικάρτεϊ πόντος ἀπείρων·
ὤλεσας ἰοβόλων κεφαλὰς ῥοθίοισι δρακόντων.
ἔθλασας οὐλομένοιο κάρη κρυεροῦ τε δράκοντος.
καί μιν ἑῶν λαοῖς θαλίην πόρες αἰθιοπήων.
ῥήξαο χειμερίους ποταμοὺς πηγάς τ' ἀνέτειλας,
καὶ ποταμῶν κελάδοντα ῥόον τέρσηνας Ἐθάμου.
ἦμαρ ὁμοῦ σοὶ νυκτὶ τεῆς κτέρας εἰσὶν ἀνωγῆς,
ἠελίῳ δ' ἀκάμαντι σεληναίην ἅμ' ἔτευξας.
γαίης πείρατα πάντα τεὴ κάμε δὴ ἀκάματος χείρ.
εἴαρι δ' ἀμφ' ἱερῷ θέρεος καματώδεος ὥρην,
τῶν δὲ περιμνήσαιο βασιλεῦ ὧν ἔκτισας ἔργων.
δήιος ἐν νείκεσσι πάρος βασιλήϊον ἀλκήν,
καὶ λαὸς κακόμητις ἄδην ὀρόθυνεν ἄνακτα.
μή μοι θηρσὶ θεοῦ μεμελημένον ἦτορ ἐάσῃς.
μηδὲ διηνεκέως ψυχέων λελάθοιο πενιχρῶν.
συνθεσίην θεράποντος ἄναξ σκοπιάζεο σεῖο·
ὡς χθονὸς ἔπλησθεν σκοτοειδέες ἀμπλακιάων.
οὐτιδανὸν μὴ πάμπαν ἀπ' εὐθειῶν ἀποπέμψῃς·
ἀκτέανος δὲ πτωχὸς ἄναξ τεὸν οὔνομα μέλψοι.
ἔγρεο νωΐτερην δὲ δίκην ἄχραντε δικάζοις·
μνώεο πῶς νείκεσσι πανημέριος θεὸν ἄφρων.

μήποτε λισσομένων γοερῆς ἐπιλήσεαι αὐδῆς,
πρὸς σὲ μάκαρ δηΐων ὑπερήφανος ὕβρεσι κείθω.

## Ψαλμὸς οδ.

Μηδέποτε φθείρῃς ἀγαθὰς μελεδῶνας ἀοιδῆς,
φαίδιμος Ἀσαφος κέκλετο μνωόμενος. (χθη.
ἑπτὰ γραφῆς δεκάτῃ πρὸς, τέτρατος ὕμνος ἐτύ-

ΠΟιμένι ἡμετέρῳ θεουδέα λέξομεν ὕμνον.
μέλψομεν εὐχόμενοι κλυτὸν οὔνομα παμβασιλῆος.
μυρία θαύματα σεῖο περιφραδέως ἀγορεύσω.
εὖτε φανῇ σέο καιρὸς, ἐγὼ μάκαρ ὀρθὰ δικάσω.
πᾶσιν ὁμοῦ ναέτῃσιν ἑοῖς κατατήκεται αἶα.
κίονας ἀκαμάτους σφετέρας ἐγὼ ἐστήριξα.
ἐξεφάμην ἀνόμοισιν ἀθεσμοσύνης ἀπολήγειν,
αὐτὰρ ἀτασθάλλοισι κέρας μὴ πάμπαν ἀείρειν,
μηδὲ κέρας εἰς ὕψος ἀρτάζειν παρὰ μοίρην.
μηδὲ καὶ ἀθανάτου ἀθεμίστια λαβρεύεσθαι.
οὔτ' ἐξ ἀντολίης ἐρικυδέος οὔτ' ἀπὸ δυσμῶν,
οὔτ' ἄρα δενδροκόμων ὀρέων ἀπὸ πολλὸν ἐρήμου.
ὡς αἰεὶ θεός ἐστι δικασπόλος ἀγνώσσοισιν.
ἄλλον λυγρὸν ἔθηχ', ἕτερον δ' εἰς ὕψος ἀείρει.
ἀκρήτου παλάμῃ μάκαρος δέπας εὔκραες οἴνου.
ἐξ ἑτέρης ἑτέρην δὲ παρακλιδὸν ἠώρηται,
ἔμπα γε μὴν ἀκένωτος ὑπὸ σταθμὴ ἔο μίμνει,
πινόντων ἅμα πάντες ἀτασθαλίης θεράποντες.
αὐτὰρ ἐγὼ μετὰ τοῖσι διηνεκέως κεχαροίμην,
ἡδέα φορμίζω θεὸν ἄφθιτον Ἰακώβου.
αὐτὰρ ὑπερφιάλων κέρεα ξύμπαντα κεάσω·
εὐσεβέων ἵνα μοῦνον ἀειρόμενον κέρας εἴη.

## Ψαλμὸς οε΄.

Κοίρανον ἀστυέλων γελόων Ἀσαφος ἐχέφρων
ἴαχεν ἑβδομάτης δεκάδος καὶ πέμπτον ἄεισμα.

Μοῦνος Ἰουδαίῃ βασιλεὺς ἀρίδηλος ἐπὶ χθονί·
οὔνομά οἱ μεγαλαυχὲς ἐν ἔθνεσιν Ἰσραήλου·
τοῖο δ᾽ ἐν εἰρήνῃ κρατερὸς πεπταίνετο χῶρος·
ἐν δ᾽ ἱερῇ Σιῶνι φίλος καὶ ἀκήρατος οἶκος.
κεῖσε βίην τόξων μεγαλοσθενέων ξυνέαξεν,
ἀσπίδα τε ξίφος ὀξύ τε ἀστυφέλικτον ἀϋτήν.
φαίνεις ἀθανάτων ὀρέων ἄπο φέγγος ἀγητόν·
στήθεσι πανσυδίῃ ἀεσίφρονες ὠρίνθησαν.
ὕπνον κακκείοντες ἀμήχανον οὐδὲν ἐφεῦρον·
ἀφνειοὶ παλάμῃσιν ἑαῖς περιθαρσέες ἄνδρες.
σμερδνὸν Ἰακώβοιο κοτεσσαμένου βασιλῆος·
ἱπποπήας μάλα πάντας ἕλεν κατὰ νήγρετος ὕπνος.
ἐσσὶ μάκαρ βλοσυρὸς, τίς τοι μένος ἀντιφερίζει.
ἐκ παλαχῆς σέο μῆνις ἔχει περιώσιον ἀλκήν.
οὔασιν οὐρανόθεν θνητοῖς θέμιν ἐγγυαλίξας.
εὔκηλος δ᾽ ἄρα γαῖα περιδδομένουσα πεδήθη,
ἀθανάτου βασιλῆος ἀνερχομένοιο δικάζειν.
ῥύσασθαι ναετῆρας ὅλης χθονὸς ἠπιοθύμους.
ἀνδρόμεόν σε νόημα περὶ στέρνοις ἀναμέλψει.
καί σοι λείψανον ἡδὺ νοήματος οἴσει ἑορτήν.
ἀθάνατον λίσσεσθε, καί οἱ δότε μείλιχον εὐχήν·
ὅσσοι δ᾽ ἀμφιέπουσι θεὸν κλυτὰ δῶρα φερόντων,
καρτερῷ, ᾧ τε μόρος μέλεται σθένει ἡγεμονήων,
εὐρυβίῃ μετὰ πᾶσιν ἀριζήλοις βασιλεῦσιν.

Ψαλ-

Ψαλμὸς οϛʹ.

Ἀσάφος μελέχρομος ἄναξ ὑπὲρ Ἰδιθούμου
ἑβδόμῃ ἀμφ' ἱερῇ δεκάδος μέλος ἴαχεν ἕκτον.

Ἡμετέρῳ βασιλῆϊ βοὴν ἀνέπεμψα χατίζων,
αὐτὰρ ὁ νωϊτέρην δεδαὼς ἐπεδέρκετο φωνήν.
ἀμφαφόων λιτόμην θεὸν ἄφθιτον ἤματι μόχθου,
χερσὶν ἐμαῖς διὰ νυκτὸς ἰὼν πέλας, οὐδ' ἀπατήθην.
ἠρνεόμην θεραπίδεσσι παρηγορέοντος ἀκοῦσαι,
μνησάμενος βασιλῆος ἔχον πολυκυδέα τέρψιν.
ἐξαπίνης δ' ἀνέμνησα, νόῳ δ' ὀλιγοδρανέεσκον.
ὄσσε φίλω φυλακῇσιν ὑποφθαμένω μεμέλωτο.
σιγάλεον νύ μοι ἦτορ ὀρινομένῳ περ ἀνέτλη·
ἐφρασάμην βιότοιο παλαιότατον φρεσὶν ἦμαρ,
καὶ μνησθεὶς ἐτέων προτέρας ἀνέμνησα γενέθλας,
παννύχιος κραδίῃ μελεδήματα πολλὰ λιγαίνων,
καί μευ ἀνιχνεύεσκε νόος διζήμενος αἰεί.
ἦ ῥά που ἀνδρομένης γενεῆς ἐπιλήσεται ἑαστήν;
ἦ ῥ' οὐχ ὧν ἐφύτευσεν, ἔτι μεμνήσεται αὐτός;
ἢ σφετέρην παύσει διηνεκέως ἐλεητύν;
μὴ θεὸς οἰκτίρμων μηπίσατο πάγχυ λαθέσθαι
μὴ μέγα μηνίσας ἐλεημοσύνην ἀπερύξει;
νῦν μόγις ἀρξάμενος νοέειν φρεσὶν αἴσιμ' ἀνέγνων,
ἦ δ' ἀλλοφροσύνη παλάμης πέλε ὑψίστοιο.
ἔργων ἀθανάτοιο παρεμνήσθην βασιλῆος·
θαυμασίων ἀρχῆθεν ἐμεῦ μεμνήσομ' ἄνακτος·
ἔργοις θεσπεσίοισι διηνεκέως μελετήσω·
ἆθλα νόῳ μέλψαιμι θεοδμήτων ἀρετάων.
ἄφθιτε σεῖο κέλευθος ἐν ἀχράντῳ πέλε αἰεί.
τίς θεὸς ἡμετέρῳ πανομοίϊος ἐστὶν ἄνακτι,

μοῦνος ἄναξ θεὸς ἐστὶ περίκλυτα θαύματα ῥέζων.
πᾶσιν ὁμῶς λαοῖσι τεὸν ἀνέφηνας σθένος.
σεῖο μεγακλυέντι βραχίονι ῥύσαο λαόν,
παῖδας Ιωσήφου καὶ Ιακώβου μεγαθύμου.
ὕδατα θηήσαντό σε, καὶ ῥίγησαν ἰδόντα,
πυθμένες ἀντίαχοι βυθίων κλονέοντο ῥεέθρων,
σμερδαλέος κτύπος ὦρτο δι' αἰθερίων νεφελάων.
καὶ γὰρ σεῖο βέλεμνα διέσσυτο ἔνθα καὶ ἔνθα,
ἐν κύκλῳ περὶ χαλῷ βροντῆς πολυηχέος ὁρμή·
ἀθανάτου στεροπῇσιν ὅλη περιλάμπεται αἶα·
ῥιζόθεν ἀντικόμος περισείετο κινυμένη χθών.
ἐν πόντῳ βρεμέθοντι τεαὶ μάκαρ εἰσὶ κέλευθοι,
ὕδασιν ἐν πολέεσσι τεαὶ τελέθουσιν ἀταρποί·
οὐδ' ἴχνος βασιλῆος ἀριφραδὲς ἀνδράσιν ἔσται.
λαῶν ἡγεμόνευσας ὅπως κατὰ μῆλα νομεύων,
χειρὶ σοφῇ Μωσῆος Ααρῶνός θ' ἱερῆος.

Ψαλμὸς οζ'.

Ασάφου πινυτῆς ἑβδόμην ἀμφὶ μέλος,
ἑβδομάτης δεκάδος κῶμος ἀειστόπινος.

ΟΜμασι λαὸς ἐμὸς θεοτερπέα δέρκεο θεσμόν·
οὔατα νωΐτερου στόματος προσστρέψατε μύθῳ.
ἀρχόμενος πυκινοῖς αἰνίγμασι χείλε' ἀνοίξω,
ἐκ παλαιῆς προτέρης γενεῶν ἀναμέλψομαι οἴμας.
ἔγνωμεν προαπίδεσσι τά περ προσεδέγμεθ' ἀκουῇ·
ἄμμι δ' ὅμως τὸ πάροιθεν ἀφηγήσαντο τοκῆες.
ἔργα παλαιγενέων σφετέροις οὐ κρύπτεται υἷας,
ὕμνοις ἀθανάτοιο περιφραδέως βοόωντας,
καὶ σθένος ὅσσον ἔρεξεν ὁμοῦ περιθαμβέσιν ἔργοις.
μαρτυρίην ἔστησεν ἐφ' γένεας Ιακώβῳ,

καὶ νόμον ἴφθιμον κλεινὸν πόρεν Ἰσραήλῳ,
νωϊτέροις ὃν πρόσθεν ἄναξ ἔστησε τοκεῦσιν,
ὄφρα κε σημήνειεν ἐναίσιμα παισὶ γενῆες,
ὡς ἑτέρη τάδ' ἅπαντα μάθοι μετέπειτα γενέθλη.
υἱέες οὓς κε τέκοιεν ἐν ὀψιγόνοισι γενέθλης,
οὕτι δ' ἀγγελέοισιν ἀεξόμενοι τάδε παισὶν,
ὄφρα κεν ἐλπίδα θεῖεν ἐπ' ἀθανάτῳ βασιλῆϊ,
μηδ' ἔργων βασιλῆος ἑοῦ λελάθοιντο θεοῖο,
ἀλλὰ καὶ ἐννεσίας μάκαρος φρεσὶν ἰχνεύσωσι,
μηδὲ φίλοις τοκέεσσι γενοίατο πάμπαν ὁμοῖοι.
ἀλλ' ὦ ῥιγεδανὴ μερόπων σκολιή τε γενέθλη,
ὦ γενεά, κακοεργὸς ἀεὶ φρεσὶ θυμὸς ἐτύχθη,
οὐδὲ νόον σφετέροιο θεοῦ μετὰ πιστὸν ἔφευρε.
τοξοσύνης ταναῆς ἑκατηβόλου Ἐφρέμου υἷες,
δηϊοτῆτα φέβοντο κακῶς μετὰ νῶτα βαλόντες.
συνθεσίην ἐρίτιμον ἀπηρνήσαντο θεοῖο,
οὐδ' ἔθελον θεσμοῖσιν ὑποδρήσσειν βασιλῆος·
ἀλλ' εὐεργεσίης ἀγαθῆς ἐλάθοντο θεοῖο,
οὐδ' ἐπὶ θαυμασίοισι τόσοις κατὰ μῆτιν ἔκαμφθεν,
ἃ πρὶν ἄναξ ἐτέλεσσεν ἑῶν κατέναντα τοκήων,
Αἰγύπτου κατὰ γαῖαν ὑπὲρ Τάνιν ἀνθεμόεσσαν·
ὥς ποτε διχθὰ θάλασσαν ἀναρρήξας ἀγελαίοις,
ἀσκὸν ὅπως στήσας πυκινὸν ῥόον ἔνθα καὶ ἔνθα,
καί σφισιν ἠμάτιος νεφέλην θέτο σῆμα κελεύθου,
νυκτὸς δ' ἡγεμόνευε καὶ οὔρεα φέγγεϊ πυρσοῦ.
θηροκόμον διέρηξεν ἀναιδέα πέτρον ἐρήμου·
φαίης τόσον ἰδὼν δοκέειν πόμα βυσσόθεν ἕρπειν,
ὁππόσον ἐκ πέτρης ἱερῆς ἐξήγαγεν ὕδωρ,
καὶ πολὺν ἀενάοισι ῥόον ποταμοῖσιν ὁμοῖον.
ἀμπλακίας δὲ τιθέντες ἐπ' ἀμπλακίῃσιν ἔρεπτον,

μῆνιν ἀνεξήγειραν ἐπουρανίου βασιλῆος,
ῥιγεδανῆς κραδίης πειρώμενοι ἀθανάτοιο,
βρῶσιν ἀπαιτίζοντες ἑῇ καταθύμιον ἄτῃ·
ἀθάνατον δ᾽ ἐν πᾶσι κακηγορέοντες ἔειπον,
μή τιν᾽ ἑτοιμάσσαι δύναται θαλίην ἐν ἐρήμῳ·
μὴ γὰρ ἐπεὶ τραφερῆς ἐξήγαγεν ὕδατα πέτρης,
ῥοίζῳ χειμερίοις ἴκελα βρεμέθοντα ῥεέθροις.
ἄρτοι δευομένοισι πόθεν τοσσοῖσιν ὁπόσσοι,
ἠὲ πόθεν λαοῖσιν ἐπεντύνειε τράπεζαν·
ταῦτα νόον θώρηξεν ἐρισθενέος βασιλῆος,
ὧν χάριν Ἰάκωβον ἀθέσφατος ἔφλεγε πυρσὸς,
καὶ κότος ἀπερίοπτος ἐπέχραεν Ἰσραήλῳ.
οὕνεκεν οὐ θάρσησεν ἐπουρανίῳ βασιλῆϊ,
θεσπεσίῳ δ᾽ οὐ πάμπαν ἔχον περὶ φέγγεϊ βουλήν.
ὑψόθεν αἰθερίης νεφέλης δ᾽ ἐπετείλατο ποιμὴν,
οὐρανίων δὲ θύρετρα θοῶς ἐπέτασσε πυλάων.
ὗε δ᾽ ἄρα γνωστὸν γλυκερὸν σφίσι μάννα πάσασθαι,
ἄρτον ἐπουράνιον φαγέειν περίαλλε βροτοῖσιν·
ἀγγελικὴν θαλίην μεροπηΐδι δῶκε γενέθλῃ·
εἰνοδίην σφίσι δαῖτα θεὸς δωρήσατο πολλήν.
πνεῦμα μὲν ἀργέσταο νότου ξυνέεργεν ἀῆναι,
ἧκε δὲ δυσκελάδου λίβυος τρηχεῖαν ἀϋτμήν.
αὐτομάτοις σφίσι σάρκας ὅπως κόνιν ἐγγυάλιξε,
ψάμμον δ᾽ ὡς πετεηνὰ περιῤῥόεντα θαλάσσης.
ἐς τὰ μὲν ἐξαπίνης μεθ᾽ ὁμήγυριν ἔμπεσεν ἀνδρῶν,
κυκλόθεν ἰθύνοντα πολυσπερέων κλισιάων·
δαινύμενοι δ᾽ ἅμα πάντες ἐνεπλήσθησαν ἐδωδῆς.
καί σφισιν ἡδομένοις καταθύμιον ὤπασε δαῖτα,
οὐδὲ πόθου νόσφισσε λιλαιομένους σφετέροιο·
οὔπω δαὶς τετέλεστο, κόρου δ᾽ ἐπιδεύετο θυμός,

καί σφεας ἀθανάτοιο μετέστιχε μῆνις ἑτοίμη,
πότμον ἀνώϊστον πόλεων τεύχουσα καρήνοις·
καρτίστους τ' ἐπέδησεν ἀγακλέος Ἰσραήλου·
ἀλλὰ γὰρ οὐδ' ἐπὶ τοῖσι κακορραφίης ἐλάθοντο,
οὐδ' ἐπὶ θαυμασίοισι τόσοις θάρσησαν ἄνακτι.
ἀλλ' ὀλιγοδρανίῃ βιοτὴν κενεαυχέ' ἰδόντες,
ῥίμφα διωκομένων ἐτέων ἐξέφθιθεν αὔτως.
ἄδηλοι· τότ' ἄνακτα καταφθίμενοι ποθέεσκον,
ἐξ ἠοῦς μιν ἀρωγὸν ἀμνύπεσκον ἰόντες,
πληθὺν φραζόμενοι προτέρων εὐεργεσιάων,
ὧν σφίσιν ἐγγυάλιξεν ἡδύτερον ἦμαρ ὀπάζων.
οἵ δέ μιν ἀμφαγάπαζον ἑοῖς περὶ χείλεσιν ἄκροις,
γλώσσης ψυδαλέης μειλίγμασι κωτίλλοντες.
οὐ γὰρ ἔχον κραδίας ἰθύφρονας οὐδὲ νόημα,
οὐδ' ἐπὶ συνθεσίῃ σφετέρῃ συμφράδμονα πίστιν.
ὦ βασιλεῦ, σὺ δὲ πάντοτ' ἔχεις οἰκτίρμονα βουλήν,
καί σφεων ἀμπλακίῃσιν ἱλάσσεαι οὐδ' ἐναείζεις,
ἀλλὰ παλίνοσον δαμάσας μεγαλήτορα θυμόν,
ἐσσυμένως σέο μῆνιν ἀναπτομένην κατερύκεις.
οἶσθα γὰρ ἀδρανέων μερόπων γένος οἷον ἐτύχθη,
οἷς βίος οὐ λήϊστος ἐπὴν ἀΐδης μιν ἐρύξῃ·
ἃ πόσα μιν θώρηξαν ἐποτρυνόντες ἐρήμῳ,
καί οἱ θυμὸν ὄρινον ἐν εἴδεσι πολλὸν ἀνύδροις,
πὰρ θέμιν ὑψίστοιο θεοῦ πειρώμενοι ἀρχῆς,
καὶ μύθοις ἐρέθοντες ἀκήρατον Ἰσραήλου.
πῶς μόχθων παλάμης ζωαρκέος ἐξελάθοντο,
αἰγυπτίων ὡς πάντας ἐρύσατο δουλοσυνάων.
αἰγύπτῳ δ' ὡς τεῦξεν ἀθέσφατα σήματα πρήξας,
αὐτὰρ ὑπὲρ Τανίος πεδίον θνητὰ τελέσσας.
αἷμα μὲν ἦεν ὕδωρ, προτέρην δ' ἠρνήσατο μορφήν.

φρείατα δ' ἤλλαχθεν, γλυκερὴν δ' ἐψύσατο χεῦσιν.
πρῶτον μὲν κυνόμυια μετέστιχεν παμφάγος αἶαν·
βάτραχος ἔνθεν ἔπειτα μολὼν διάπαξεν ἀρούρας·
αὐτὰρ ἐρυσίβῃ πολυδευθέα καρπὸν ἔδωκεν·
ὀξέα δ' ἀμώωσα πόνοις χθονὸς ἀκρὶς ἔπερσε·
ψυχρῇ δ' ἀμπελόεσσα κατέφθιτο γαῖα χαλάζῃ,
καὶ στιβαρὴ συκάμινος ἀμειδέϊ τέρσετο πάχνῃ·
ῥιπῇ τετραπόδων ἀγέλας ἐνάλειξε χαλάζης,
καὶ κτῆσιν σφετέρην κατεβόσκετο καιομένη φλόξ.
ἀλλ' οὐδ' ὥς, ἀπέληγεν ἀεί σφισι μῆνιν ἀέξων,
μῆνιν καὶ κότον αἰνὸν ὁμῶς βαρυπενθέϊ μόχθῳ
πνεύμασιν αἰθερίοισιν ἀμειλίκτοισι κελεύων,
θυμῷ ὀρινομένῳ πολυπήμονα τεῦξεν ἀταρπόν,
οὐδὲ καταφθιμένων ψυχέων περιφείδετο πάμπαν·
ἀλλὰ καὶ ἀγρονόμοις ἀγέλας ξυνέδησεν ὀλέθρῳ·
ἃ χθὼν πρωτοτόκον ὁπόσων ὠδύρατο πότμον,
ὡς ἴδε θαπτομένων τεκέων προτάγειον ἥβην.
αὐτὰρ ἄναξ ἑὸν λαὸν ὅπως καλὰ ῥύσατο μῆλα,
ἀγλαὸν οἷά τε πῶϋ κατ' οὔρεα μακρὰ νομεύων,
ἐλπίδι πιστεύοντα καὶ ἡγεμονῆος ἐρωῇ·
δυσμενέας δ' ἐκάλυψεν ἐοὺς μέγα λαῖτμα θαλάσσης·
οἱ μὲν ἄρ' ἐννεσίης ὄρος ἔσχον ἀθανάτοιο,
κλεινὸν ὄρον τὸ πάροιθε φίλῃ κτεατίσσατο χερί.
αὐτὰρ ἄναξ ναέτας προτέρους ἐξήλασε γαίης,
αὖτις δ' εἰσαγαγὼν κλήρῳ διεδάσσατ' ἀρούρας,
ῥιζώσας κατὰ φῦλα μετὰ κλισίῃσιν ἑῇσιν·
οἱ δ' ἔτι πειρήσαντο βίην ἐρέθοντες ἄνακτος,
θυμὸν ἀπαινύμενοι σφετέρων ἀπὸ μαρτυριάων,
ῥέζοντες προτέρων ἀθεμίστια ἔργα τοκήων.
ἀπτόλεμον δ' ἄπε τόξον ἔχον στρεψαύχενα λώβην,

ἀθάνατον κορυφῇσιν ὀρεσιβάτοις ἐρέθοντες·
καί οἱ ἐποτρυνέσκον ἑοῖς φρένας εἰδώλοισιν.
ἔνθ' ἀΐων ἀθέριζε θεὸς κακοεργέα βουλὴν,
αὐτίκα δ' Ἰσραῆλον ὀνόσσατο τὸν πρὶν ἀγητόν.
Σιλώμης δ' ἐκέδασσε φίλον θεοπρεπέα νηόν.
οὐ γὰρ ὀϊζυροῖσιν ὁμέστιος ἔσκε βροτοῖσιν.
ἐκ δὲ βίης ἠχάθοντο, πόρεν δὲ ἑ ληϊστῆρσι,
καὶ σφέτερον δηΐοισιν ἕλωρ δωρήσατο κάλλος.
οὐκέτ' ἄορ λώφησεν ἀεὶ σφέας ἐξεναρίζον·
οὓς ὃ λίην ἀγάπαζε, φίλης ἀπέλειψεν ἀρωγῆς.
οἰκτρὰ μὲν ἠϊθέοις κατεβόσκετο θεσπέσιον πῦρ,
οὐδέ τις ἀμφ' ἰὼν ὀλοφύρατο παρθενικάων,
οὐ ξίφεϊ θνήσκοντας ἀνέστενον ἀρητῆρας,
οὐδέ τις ὀλλυμένης πολιὴν ᾠκτίσατο χήρης.
εἰσόκεν ὑπνώοντι θεὸς πανομοίιος ὦρτο,
καρτερῷ δ' ἐξ οἴνοιο καρηβαρέοντι ἐοικώς.
ὀρνύμενος δ' ἕδρῃσι κακῶς ἐδάμασσεν ἀήτας,
καί σφισι μῶμον ἔδωκεν ἐπ' ἀήκτοισι γενέθλης.
δὴ τότ' Ἰωσήφου κέδασεν δόλον αἰγλήεντα·
Ἐφρέμου αὖτ' ἐρατεινὸν ἄφαρ μωμήσατο φῦλον·
κλεινὸν δ' ἀντ' αὐτοῦ ἐπελέξατο φῦλον Ἰούδα·
θεῖον ὄρος Σιῶνος ὅπερ φρεσὶν ἀμφαγαπάζει,
νηὸν ἑὸν τέκτηνεν ἄναξ ἅτε μουνοκερῆος,
καὶ γαίῃ κατέπηξε διηνεκέεσσι γενέθλαις·
τῆμος ἑὸν Δαβίδον ἄναξ ἐπελέξατο δοῦλον,
βοῦ δέ μιν ἐκ πολέων ἐκαλέσσατο μηλοβοτήρων·
ἐξόπιθεν μιν ἄειρεν ἀμελγομένων ποτὲ λαῶν,
θεσπίσας Ἰάκωβον ἑὸν θεράποντ' ἀγελάζειν.
καὶ κτέρας ἀμφιβόητον ἔχειν μέγαν Ἰσραῆλον.
καί μιν μειλιχίῃ κραδίης ἐνόμευσε δικαίως,

καὶ χείρων πινυτῆς σφετέρου ἡγήσατο λαοῦ.

Ψαλμὸς οη΄.

Ἀσάφου λιγυρὸν ὄγδοον ἀμφὶ μέλος
ἑβδομάτης δεκάδος κῶμος ἀεισοπόνος.

Ἄγεια φῦλα τεῆς ἐπέβη πανυπέρτατε μοίρης·
ἄχραντον δ' ἐμίηναν ἀθεσμοσύνῃ τεὸν νηόν.
οἵ ῥ' Ἱερουσαλὴμ φρουρὸν θέσαν ὥστιν' ὀπώρης,
πτηνοῖς αἰθερίοις τεὸ λείψανα θῆκαν ἐέλδων,
τῶν ὁσίων θήρεσσιν ὑπ' ἠῶα σάρκας ἔθεντο.
ὡς δ' ὅθ' ὕδωρ δαπέδῳ δμώων σέθεν αἷμα χέοντο,
ἀμφ' Ἱερουσαλὴμ χῆτει μάλα κηδεμονήων.
ἀνδράσι λωβητοὶ γεγαυήμεθα πάγχυ θυραίοις,
οἷα περικτιόνεσσι γέλως καὶ παίγνιον αἰνόν·
εἰπὲ μάκαρ, τεὸ μέχρι μενέεις κεχολωμένος ἡμῖν,
καὶ τεὸ μῆνις ὄρωρε διαμπερὲς οἷά τε πυρσός·
χεῦε κότον μετὰ φῦλα, τάπερ τεὸν οὐ μάθε κῦδος,
καὶ μετὰ κοιρανίας αἳ σῆς ἀμέλησαν ἀρωγῆς.
οὕνεκ' Ἰάκωβον πινυτὸν κατέδοντο κακοῖσι,
καί οἱ χῶρον ἑλόντες ἀγακλέα θῆκαν ἔρημον.
αὐτὸς ἄναξ προτέρων ἐπιλήθεο δυσφροσυνάων,
οἰκτιρμοὺς κατάπεμπε θοῶς μάκαρ ἄμμιν ἀρωγούς.
πτωχοὶ γὰρ μετὰ πᾶσι λίην γεγαυήμεθα μοῦνοι.
ἀλκτὴρ μοῦνος ἐὼν καὶ ἀεὶ θεὸς ἄμμιν ἀρήγοις,
ῥύεο τοὺς ἱκέτας βασιλεῦ σέθεν εἵνεκα τιμῆς.
οὔνομα σὸν βροτέῃσιν ἱλάσσεται ἀμπλακίῃσι,
μήποτε φῦλ' ἐρέῃ τῇ δὴ θεὸς ἔπλετο κείνων,
ἔθνεα μὲν ἀναφανδὸν ἐν ὀφθαλμοῖσιν ἴδοιτο,
δμώων ἔκδικον αἵματος ὃ πρὶν ἔχευον σεῖο.
ἀντίον ἰλλομένων στοναχὴ σέθεν ἵξεται ὄσσων.

ὅσσῃ δ' ἀθανάτοιο βραχίονος ἔπι ῥωή·
τόσσον ἀποφθιμένων ἀδίκως περικήδεο παίδων.
ἑπτάκις ἐς κόλπον μετάθες πάλιν αἰνὰ θυραίοις,
ὕβριος ἧς νείκεσσαν ἀπειρεσίην σέο τιμήν.
ἡμεῖς γὰρ σέο λαὸς ἄναξ καὶ θρέμματα ποίης·
αὐτ' εὐεργεσίης σοὶ ἄναξ ἀναμέλψομεν αἶνον,
ἐκ γενεῆς γενεὴν δὲ τεὸν κλέος ὑμνήσαιμεν.

Ψαλμὸς οθʹ.

Ἀσάφου πινυτοῦ μαρτυρείην μελέων,
ἔργων ἐσθλὸς ἔφυ κόσμος ἀμειβομένων,
εἵνατος ἑβδομάτην ἀμφιέπων δεκάδα.

ΔΕρκεο τιμήεντα νέμων μάκαρ Ισραήλον,
αὐτὸς ὃς Ιώσηφον ἄγων ἅτε μῆλον ἀέξεις.
φαίνεό μοι βεβαὼς ὑπὲρ ἄφθιτα σεῖο Χερουβίμ.
ἄντα Βενιαμίνου τε καὶ Ἐφρέμου ἠδὲ Μανασσοῦ
σεῖο βίην ἀνάειρε καὶ ἡμέας ἧκε σαώσων.
ῥεῖα μεταστρεφθεὶς καλέοις πάλιν ἡμέας ἐασὴν,
ζωὴ δ' ἡμετέρη περιγενὴς σέο φέγγος ὀπωπῆς.
κοίρανε παντοίου σθένεος βασιλεύτατε πάντων,
κλῦθι μάκαρ, τέο μέχρι λιταζομένῳ χαλεπαίνεις.
ἄρτον δακρυόεντα κατὰ χρέος ἄμμιν ὀπάζων,
καὶ πόμα μετρήσας ἀχέων πλέον ἄμμε ποτίζων.
ἡμέας ἀντιβίοισι μετ' ἀνδράσι νεῖκος ἔδωκας
καὶ πυκινὸν προὔθηκας ἐμεῦ δηΐοισι γέλωτα.
ἄμμε μεταστρεφθεὶς σθενέων μάκαρ εἰς σὲ καλέσσεις,
ζωὴ δ' ἡμετέρη βλεφάρων σέο φέγγος ἰάλλοις.
ἄμπελον Αἰγύπτοιο μετήγαγες ἀνθεμόεσσαν,
ἐκ δὲ τιμῶν ἐφύτευσας ἀγακλέος ἔθνεα γαίης.
πρόσθε δέ οἱ ταναὰς προμολὼν λείηνας ἀταρπούς,

καὶ ῥίζας ἐφύτευσας, ὅλην δ' ἔπλησαν ἄρουραν·
οὔρεα μὲν σκιεροῖς ἐκαλύπτετο μυρία θάμνοις,
καὶ μάκαρος κέδροις ἀναδενδράδες ἔσκεπον ἄκρας.
γῆς πτόρθοι τανύοντο ἐπ' ἀτρυγέτοιο θαλάσσης,
καὶ ποταμῶν ὅρπηκες ὑπερτέλλοντες ἔβαινον.
τίπτε οἱ ἀσφαλὲς ἕρκος ἄναξ χείρεσσι καθεῖλες,
καί μιν ἀποτρυγόωσι παραστείχοντες ὁδῖται.
ἀγνὸς ἀπὸ δρυμοῖο μολὼν λυμήνατο κάπρος,
καί μιν ἀτιμαγέλης κατεβόσκετο λυσσαλέος σῦς.
ἡγητὴρ σθενέων μοι ἐπιστρέψας ὀπωπὴν·
οὐρανόθεν τανύσειας ἄναξ πανεπίσκοπον ὄμμα,
ὄφρα μοι ἠμπελίδος χλοερῆς ἰήσεαι ἄλγος,
καί μιν ἐπιμάσσαις ἀναστήσαις κατὰ μοῖραν.
σῆς γὰρ δεξιτερῆς πολυήρατον ἔργον ἐτύχθη.
ἀνθρώπου φίλον υἱὸν ὃν ἄλκιμον αὐτὸς ἀνέγνως,
ἀμφισκαπτομένη πυρὶ λάβρῳ καιομένη τε,
σεῖο δ' ὀπωπῆς ἀπειλῇ ἄναξ πανυπέρτατ' ὀλοιῶνται,
σῆς ἐπὶ φῶτα γε δεξιτερῆς, χεὶρ σεῖο γενέσθω·
ἀνθρώπου φίλον υἱὸν ὃν ἄλκιμον αὐτὸς ἀέγνως.
ἡμεῖς δ' ἀθανάτης ἀποπαυσόμεθ' οὔποθ' ὁδοῖο.
τεῦχε φάος βιότοιο, λιταζομένων δ' ὑπακούσαις.
ῥεῖα μεταστρεφθεὶς καλέσαις πάλιν ἡμέας ἐσθήν·
ζωῇ δ' ἡμετέρῃ βλεφάρων σέο φέγγος ἰάλλοις.

Ψαλμὸς πα΄.

Ἀσάφου Λευῖτος ἀγακλήεις πέλει ὕμνος
ὀγδοάτης δεκάδος τερπνὸν ἄκος φορέων.

Χαίρετ' ἀλεξικάκῳ προθαρσέες αἰὲν ἄνακτι,
κῶμον Ἰακώβου ἀλαλάξατε παμβασιλῆϊ·
ψαλμὸν δεξάμενοι λιγυρὸν δότε τύμπανον ἡδύ,

εὐκέλαδον κιθάρην, μετὰ δὲ ψαλτήριον ἱρόν.
μηνὸς ἀπαρχομένοιο φίλοι σαλπίσατε ἄνδρες,
ἤματι τῷ, ὅτε κάλλος ἀειφεραδὲς ἐστὶν ἑορτῆς.
κλεινὸν ἀεὶ θέσπισμα, τὸ δ' Ἰσραῆλος ἔδεκτο,
εὐδικίην βασιλῆος Ἰακώβοιο φυλάσσειν,
τὴν μὲν Ἰώσηφος παρεδέξατο μάρτυρα θεσμῶν,
ἐρχόμενος τὸ πάροιθεν ἀπ' Αἰγυπτίοιο πελήων.
γλῶσσαν ἀειζήλην ἀΐων ἧς νῆϊς ἐτύχθη.
νῶτα δυσηλεγέων ἀνεπαύσατο φαίδιμα μόχθων,
ὃ πρὶν ὑποδρήσσων ὀλοῷ παλάμῃσι κοφίνῳ.
δὴ τότε πῶς βοάασκες, ἐγὼ δέ τοι ἦλθον ἀμύντωρ,
οὐδ' ἔλαθες δνοφερῇ με καταιγίδι κευθόμενος πῦρ·
σεῖο δὲ διψαλέου ἑλόμην καὶ ἐν ὕδατι πεῖραν.
κέκλυθι λαὸς ἐμός, λέξω δή τι αἴσιμα μύθοις,
μή τι ἐμῶν ἐπέων ἐπιλήσεαι Ἰσραῆλε,
οὔ τις τοι νέος ἄλλος ἀειρομένων θεὸς ἔσται,
οὐδὲ θεὸν ξεῖνον γουναζόμενος λιτανεύσεις.
αὐτὸς γὰρ θεός εἰμι σέθεν καὶ ἀγήραος ἐστήν,
ὅς σ' ἀνάγων ἐσάωσα καὶ ἐκ νειλωΐδος αἴης.
εἰ δέ τινος χατέεις, τάνυσον στόμα καὶ τόδε πλήσω.
νήπιος ἡμετέρων ἐπέων οὐκ ἔκλυε λαός,
οὐδέ τι μὲν Ἰσραῆλος ἐβούλετο φάεσι λεύσσειν·
τοὔνεκά μιν προέηκα νόῳ καταθύμια ῥέζειν,
νισσέσθων σφετέρῃς ἀεσιφροσύνῃσιν ὀπηδοί.
εἰ γὰρ ἐμῆς φθογγῆς ἀποφώλιος ἔκλυε λαός,
εἰ δ' ἐραμὲν ἡμετέροισιν ἐπ' ἴχνεσιν Ἰσραῆλος,
καί κεν οἱ ἀντιβίους πέλασα χθονὶ καὶ δίχα μόχθου,
καί κέ μιν ἐχθαίροντας ἐμῇ πάρος ὤλεσα χειρί.
ἐχθροὶ ἐπεψεύσαντο μεγασθενέτην βασιλῆα·
τῶνδε διηνεκέως βιότου τρόφος ἔσσεται ὥρη.

καί σφισιν ἀθάνατος ζωαρκέα πυρὸν ἔδωκας,
καί μέλιτος πέτρηθεν ἀκηρασίου κόρον ἴσχειν.

Ψαλμὸς πα΄.

Πρῶτον ἐπ' ὀγδοάτῃ δεκάδος μέλος ἐσθλὸν Ἀσάφου.

Ἄφθιτος ἐν κλισίῃσι θεῶν πανυπέρτατος ἔστη,
ἑζόμενος δ' ἀνὰ μέσσον ἄναξ μακάρεσσι δικάζει.
μέχρι τεοῦ ἀχραάντοιο δίκης οὐ κρίνετε θεσμοῖς,
ἄζεσθε δὲ πρόσωπα ὑπερφιάλων ἀλεγεινῶν.
ὀρφανικοῦ καὶ ἀκτεάνου διαείσατε ὕβριν,
δειλῷ τ' ἠδὲ πένητι δίκης ἰθύνατε θεσμούς.
ἀκτέανον ῥύσασθε ἀμήχανον ἠδὲ πενιχρόν,
καί μιν δυσαρῆς παλάμης ἁρπάξατ' ἀλιτροῦ.
νήπιοι, οὐ σκέψαντο μετὰ φρεσὶν οὐδ' ἐνόησαν,
οὕνεκεν ἀφραδέως ὀλοὸν μετεκίαθον ὄρφνην.
ἔνθεν ὀρινέσθωσαν ὅλης περὶ πυθμένα γαίης·
αὐτὸς ἑκὼν ἐφάμην μάκαρος πάρος ἡμέας εἶναι,
καί παῖδας βασιλῆος ἀγακλέος ὑψίστοιο.
θνήσκετε δὲ φθιμένοισι κατὰ χθονὸς ἶσα βροτοῖσιν·
οὐλομένῳ πίπτοντες ὁμοίιοι ἡγητῆρι·
ἔγρεο παμβασιλεῦ, καί μοι χθονὶ σεῖο δικάζοις,
οὕνεκα σὺ κλήρῳ κτεατίσσεαι ἔθνεα πάντα.

Ψαλμὸς πβ΄.

Ὀγδοάτης δεκάδος καὶ δεύτερος ὕμνος Ἀσάφου.

Ἄφθιτε τίς δή τοι πανομοίιος ἔσσεται ἄλλος·
μήποτε σιγήσῃς μηδὲ φρεσὶ μείλιχος εἴης·
οὕνεκα σῶν πυκινῶς δηΐων ὀρυγμαδὸς ἀέρθη·
οἱ δέ σ' ἀπεχθαίροντες ἀρτάζοισι κάρηνα.
μῆτιν ἐπεκτήναντο τεοῦ δηλήμονα λαοῦ,

ἀμφὶ δὲ σῶν ὁσίων ὀλοφώϊα μητιάσαντο.
δεῦτ' ἄγε δὴ φίλοι ἄνδρες ὅπως σφέας ἐξολέσωμεν,
οὔνομα τε σβέσσωμεν ἀπὸ χθονὸς Ἰσραήλου.
αὐτίκα δ' ἐρχόμενοι κακομήχανοι ἐσκέψαντο,
συνθεσίην κατέναντα μάκαρ σέο τεχνήσαντο,
ἰδουμαίων φῦλα καὶ υἷες Ἰσμαήλου.
τοῖσιν ὁμοῦ Μωάβος ὑπερφίαλοί τ' ἀγαρηνοί,
ἀμμῶνες γέβαλοί τε καὶ υἷες Ἀμαλήχου,
ἀλλοδαποί θ' ἀλίοισιν ἅμ' ἐρχόμενοι τυρίοισιν.
οὐδὲ μὲν ἀσσυρείων ἀπελείπετο δῆμος ἀπείρων,
ἀλλ' ἐπιθωρηχθέντες ἔβαν πρόμοι υἱέσι Λώτου.
ἔρξον ὅπως Σισάρᾳ τέλεσάς ποτε καὶ Μαδιάμῃ,
ἢ μετὰ χειμέρειον Κισσῶν ῥόον Ἰαβίνοισιν,
οἳ πρὶν ἐν Ἀενδώρει δάμεν βαρυτήμονι μόχθῳ,
κόπρος τ' ἐξεφάνησαν ἀλίγκιοι ὑψόθι γαίης,
οἷα κόνις, τὴν ὦκα διὰ χθονὸς ἤλασ' ἀήτης.
τῶν δὲ καθηγητῆρας ἄναξ πανυπέρτατε τεύξαις
Ὠρήβῳ Ζήβῳ Ζεβέῳ καὶ Σαλμάνῳ ἴσους,
πάντας ὅσοι πελέθουσι μετὰ σφίσιν ἡγεμονῆες.
οἳ πρὶν ἑλεῖν σκέψαντο θεοῦ περικαλλέα βωμόν.
οἷα τροχὸν σύμπαντας ἄναξ περιηγέα δοίης,
ἢ ἅτε καρφομένην καλάμην κατέναντι θυέλλης,
ἢ πυρὶ βοσκομένῳ κατὰ πίσεα πυκνὰ καὶ ὕλην,
ἢ φλογὶ καρφαλέων ὀρέων ὑπερορμηθείσῃ·
ὧδε μάκαρ μάλα τούσδε καταιγίδι σεῖο διώκοις,
θυμῷ ἀμαιμακέτῳ καὶ ἀπηνεῖ πάντας ἀτύζων.
αἰσχύνης ἅμα πᾶσι περιπλήσειας ὀπωπάς,
ὄφρα κεν αἰδόμενοι, τεὸν οὔνομα μαστεύσειαν.
νωλεμέως στυγεροῖσιν ὀρινέσθωσαν ἐλέγχοις.
μῶμος ἕλοι σύμπαντας, ὁμοῦ δ' ἀπολοίατ' αἰνῶς·

γνοῖεν ἀπολλύμενοι κραδίῃ τεὸν οὔνομα θεῖον,
οὕνεκα μοῦνος ἐπ' αἶαν ὅλην ὕψιστος ἐτύχθης.

### Ψαλμὸς πγ'.

Υἱάσιν ἱερὸς ὕμνος ὑπερθύμοιο Κορῆος
ὀγδοάτης δεκάδος μετὰ πρῶτον καὶ τρίτατος.

ΩΣ ἐραταὶ κλισίαι σθενέων σέθεν αἰὲν ἔασιν·
ἐκ θυμοῦ ποθέω μάκαρος περιναιέμεν αὐλάς·
ψυχῇ καὶ μελέεσσι θεῷ ἐπαγάλλομ' ἐόντι.
καὶ γὰρ ὁ στρουθὸς καταθύμιον οἶκον ἐφεῦρε,
καὶ τρυγὼν τεκέεσσιν ἐναίσιμον εὗρε καλιήν·
βωμοὶ σεῖο μάκαρ, σθενέων θεὸς ἐσσὶ καὶ ἐσσήν·
ὄλβιοι μάλα πάντες ὅσοι σέο δώματ' ἔχουσιν·
αἶνον ἀγακλήεντα τεὸν μέλψουσιν ἀοιδαῖς.
ὄλβιος ὅστις ἀνὴρ παρὰ σεῖ κράτος ἐσθλὸν ἐφεῦρε,
θυμῷ ἐποπτεύων καὶ ἐς οὐρανὸν αὐτὸν ἐλάσσαι,
ἐν κοίλῃ κλαυθμῶνος, ἵνα κλυτὸν εὕρατο χῶρον.
εὐλογίας θεσμοῖο δοτὴρ κατὰ μοῖραν ὀπάσσαι·
εὐσθενέος νίσσοιντο μετὰ σθένος ἑρμηθέντες,
ἀμφαδὸν ἐν Σιὼν θεὸς θεῶν ὄψεται ὅσσοις.
κλῦθι μάκαρ σθενέων, θεράπων δέ τοι εὔχομαι εἴδη,
ἀρχὲ Ἰακώβου δέξαι νῦν μ' οὔασιν αὐδήν·
ἄλκαρ ἐμὸν μεγάλως ποτιδέρκεο σῇσιν ὀπωπαῖς·
μὴ δὴ σεῖο πρόσωπον ἄναξ χριστοῖο παρέλθῃς.
αὐλῆς χιλιάδων προφερὴς σέθεν ἦμαρ ἰαύειν.
βέλτερον ἐν μεγάροισι θεοῦ καὶ οἰκέτην ἀκοῦσαι
ἢ κρατερὸν ναιετῆρα μετὰ κλισίῃσιν ἀλιτρῶν·
ὡς ἔλεον καὶ ἀληθείην θεὸς ἀμφαγαπάζει,
αὐτὸς κῦδος ἀεὶ καὶ ἑὴν χάριν ἐγγυαλίξει·
οὐδ' ἀγαθῶν σφετέρων ἀκάκους ποτὶ νόσφιν ἐάσει.

ἄφθιτε, σὺ γὰρ αἰεὶ σθενέων μάκαρ ἔπλεο μοῦνος,
ὄλβιος οὗτος ἀνὴρ ᾧ κεν φρεσὶν ἐλπὶς ἐτύχθη.

## Ψαλμὸς πε'.

Ὀγδοάτῃ δεκάδι πρὸς πέμπτατος ἱρὸς ὕμνος
μέλπεθ' ὑπερθύμοιο φίλοις τεκέεσσι Κοραίου.

ΣΕῖο πάλιν βασιλεῦ μετὰ κήδεα φίλαο γαῖαν·
αὖθις Ἰακώβου δωρήσαο λήδιον νόσον. *
δυσνομίας μεθέηκας ἀπειρεσίας σέο λαῷ.
παντοίων ἐκάλυψας ἐπ' ὄψεσιν ἀμπλακιάων.
μήνιος ἐκ πυκινῆς ἀγανόφρονα θυμὸν ἔπαυσας,
σεῖο μετήμειψας κεκοτηότι θυμὸν ἀνίης.
ἂψ ἄγε φέγγος ἐμὸν στρεφθεὶς πάλιν ἵλαθι σοῖσιν·
ἡμείων δ' ἀπάλαλκε τεὴν πολυπήμονα μῆνιν.
μηδὲ τεοῖς δμώεσσι διηνεκέως χαλεπήνῃς,
ἐκ γενεῆς γενεὴν δὲ βαρύφρονα μῆνιν ἀέξων.
αὐτὸς ἐπισχέψας βιότου χάριν ἄμμιν ὀπάζοις·
σοὶ δ' ἐπιγηθήσειεν ἀγαλλόμενος σέο λαός.
θεσπεσίην ἐλεητὺν ἄναξ ἀνάφαινε τεοῖσι,
δὸς δ' ἐπιδευομένοισιν ἀλεξίκακον σέο φέγγος.
πεύσομαι ὅττι κεν αὐτὸς ἐμοὶ θεὸς ἐξαγορεύσῃ,
εἰρήνην σφετέροις πᾶσιν λαοῖσι φυτεύων,
καὶ νόον οἷς ὁσίοις, καὶ ὅσοι πάλιν εἰσὶ μεθ' αὐτοῦ.
ἔμπα γε μὴν τρομέοντας ἑὸν φάος ἀμφιπολεῦσας,
νωΐτερην κατὰ γαῖαν ὅπως κλυτὸν εὖχος ὀρέξοι.
ἤντεον ἀλλήλοισιν ἀληθείη τ' ἔλεός τε,
εἰρήνη δ' ἐφίλησε δικαιοσύνην ἐρατεινήν.
γαίης ἐξανέτειλεν ἀληθείη χαρίεσσα,
οὐρανόθεν δ' ῥόεσσα δικαιοσύνη διέκυψε.
καὶ γὰρ μειλιχίην βασιλεὺς ζωαρκέα δοίη,

καὶ χθὼν καρποτόκος γε, φυσίζοον εἶδαρ ὀπάσσει.
εὐδικίη κατέναντι θεοῦ βασιλῆος ὁδεύσει,
ἴχνια οἱ προχαλοῖσιν ἐπιθύνουσα κελεύθοις.

Ψαλμὸς πε΄.

Πέμπτον ἐπ' ὀγδοάτῃ δεκάδι μέλος ἐσθλὸν ἀείδων,
εὐχωλὴν βασιλῆϊ μέγας Δαβίδος ἀνῆκεν.

Κλῖνον ἄναξ τεὸν οὖας, ἐμῆς δ' ἐπικέκλυθι φωνῆς,
οὕνεκεν ἀκτέανός τις ἐγὼ καὶ πτωχὸς ἐτύχθην.
ἦτορ ἐμὸν φρούρησον ἄναξ, ὅσιος νύ τοι εἰμί.
σὸν θεράποντα σάωσον, ἐπεὶ σύ μοι ἄφθιτος ἐλπίς.
ἵλαθί μοι βοόωντι πανημαδὸν εἰς σὲ λιτῇσιν.
ἦτορ δ' εὐφρήνειας ἐελδομένου θεράποντος,
σεῖο γὰρ ἐξήτησα βίον καὶ θυμὸν ἐμεῖο.
αὐτὸς μείλιχός ἐσσι λίην ἐπιεικέα ῥέζων,
εὖ δ' ἐπιδευομένοισι τεὴν ἐνηείην ἀέξων.
κλῦθί μευ εὐχωλῆς καὶ ἐμῆς ἴδε γήρυος αὐδήν.
πειρόμενος βοάασκον, ὑπήκουσας δὲ λιτάων.
οὔτις ἐν ἀθανάτοισι θεῷ πανομοίϊος ἄλλος.
οὐδὲ γὰρ ἔργα τεοῖσι πανείκελα φαίνεται ἔργοις.
ἀνδρῶν ἔθνεα πάντα τά περ τεκτήναο χειρί,
ἄντα σέθεν προσμολόντα μακάρτατε λιτάσονται.
οὔνομα κυδαίνοντα τεὸν καὶ ἀγήραον ἀλκήν,
αὐτὸς ἐπεὶ μέγας ἐσσὶ καὶ ἄφθιτα θαύματα ῥέζεις.
αὐτὸς μοῦνος ἄναξ πανυπέρτατος αἰὲν ἐτύχθης.
σῆμ' ὁδῷ ἰθύνειας, ἀληθείην δὲ κιχείω,
θυμὸν ἰαινοίμην τρομέων σέθεν οὔνομα θεῖον.
ἀλήκτῳ κραδίῃ σὲ μάκαρ πανυπέρτατε μέλψω.
σεῖο διηνεκέως κλυτὸν οὔνομα κυδαίνοιμι,
οὕνεκα δή μ' ἐλεητὺς ἄναξ σέθεν ἀμφικαλύπτει.

ἡμέτερον

ἡμέτερον δ᾽ αἴδαο βαρύφρονα ῥύσαο θυμόν.
αὐτὰρ μὲ ὦ βασιλεῦ ἀλκιμίστοι ἀπεφέροντο,
καὶ στεναρῶν ἐμὸν ἦτορ ὁμήγυρεις ἰχνεύεσκεν,
οὐδὲ βίην προσεύθεντο τεὴν κατεναντίον ὄσσων·
καὶ σὺ μάλ᾽ οἰκτίρμων πέλεαι μάκαρ, ἠδ᾽ ἐλεήμων,
καὶ δωτὴρ ἐλέους πολέος, καὶ μοῦνος ἀληθής.
οὐρανόθεν σκοπίαζε μακάρτατε, καί μ᾽ ἐλεαίροις·
παιδὶ τεῷ σέο κάρτος ὑπέρτατον ἐγγυαλίξοις,
καὶ σέθεν ἀμφιπόλου ἀγαπήνορα παῖδα σαώσοις.
τεύχοις ἄμμι μάκαρ σημήϊον εἰς ἀγαθόν περ,
ὄφρα μευ αἰσχυνθεῖεν ἀνάρσιοι εἰσορόωντες,
ὡς ἄρα σὺ παρφασίη πελέθεις καὶ ἀρωγὸς ἐμεῖο.

Ψαλμὸς πϛʹ.

Υἱάσιν ἀντιθέοισιν ὑπερθύμοιο Κοραίου
ἕκτον ἐπ᾽ ὀγδοάτῃ ἠδ᾽ ὕμνος δεκάδι.

Οὔρεσιν ἀχραάντοισι θεμείλια καλὰ θεοῖο·
οἶδε πύλας Σιῶνος ἀεὶ θεὸς ἀμφαγαπάζειν,
πασάων πολὺ μᾶλλον Ἰακώβου κλισιάων.
πευθόμεθ᾽ ἀμφὶ σέθεν πόλις ἄφθιτε κυδήεντα.
μνήσομαι αὐτὰρ φίλων Ῥαάφης ἅμα καὶ Βαβυλῶνος.
ἀλλοδαποί τύριοί τε καὶ αἰθιόπων κλυτὰ φῦλα,
κεῖσ᾽ ἅμα πάντες ἰόντες, ὁμέστιον αὖλιν ἔθεντο.
μητέρα ἡμήεσσαν ἀνὴρ Σιῶνα καλέσσει·
καὶ γὰρ ἀείζηλον καὶ ἀληθέα γείνατο φῶτα·
καί μιν ἄναξ χαφίδεσσι περιφραδέως ἀγρεύσει,
λαοῖς καὶ κρατερῶν ὧν περ τέκεν ἡγεμονήων.
οἵ τέ μιν οἰκήσουσι βόον κεχαρηότες αἰεί.

## Ψαλμὸς πζ.

Καὶ τόδ' ὑπὲρ Μαελὲθ πινυτῆς παίδεσσι Κοραίου,
ἕβδομον ὀγδοάτῃ ἀμφὶ μιῆς δεκάδι.

Νωϊτέροιο βίη πανυπέρτατε φέγγος ἐασὴν,
ἠμάτιος βοόω καὶ πάννυχος εἰς σὲ λιτῇσιν·
εἴθε μοι εὐχωλὴ σῶν ἀντίον ἵξεται ὄσσων,
εἴθε μοι ἱκεσίῃσιν ἄναξ τεὸν οὖας ἐρείδοις·
οὕνεκά μοι βέβριθεν ἀμήχανος ἄλγεσι θυμὸς,
νερτερίου τ' ἀΐδαο φίλη πέλας ἦλθε βιώνη.
ᾠίσθην ἔμεν ἶσος ἐπεσσυμένοις μετὰ βόθρον·
θνητὸς ὅπως γενόμην, ᾧ μὴ καταφαίνετ' ἀρωγὸς,
καί περ ἀεὶ νεκύεσσιν ἐλεύθερος αὐτὸς ἐών περ,
οἷά περ οὐτηθέντες ἀκηδέσι περὶ τύμβοις
εὕδουσιν, τῶν οὔτι μετατρέπῃ, οὐδ' ἀλεγίζεις.
καὶ γὰρ σῆς παλάμης ἐρικυδέος ἐκτὸς ἔλασθεν.
νέρτερόν μ' ἀπέθεντο μετὰ φθισήνορα βόθρον,
ὀρφναίην θανάτοιο παρὰ σκιοειδέα χώρην.
ἀμφ' ἐμὲ σεῖο κότος βαρυώδυνος ἐστήρικται,
καί με μεταχθόνιον κλονέεις τεὰ μέρμερα πάντα.
τῆλε παρηγορίην νοσφίσσαο πᾶσαν ἑταίρων·
οἱ δέ με λευγαλέῳ τῷ ἀποστυγέουσιν ὁμοῖον.
ἃ τότε πῶς βιόωντο καὶ οὐκ ἐθέλοντά μ' ἔπεσθαι·
ἐκ δ' ὀλιγηπελίης ἀμαθύνετο καὶ φάος ὄσσων.
αὐτὰρ ἐγὼ κάλεόν σε τόσης ἐπίκουρον ἀνάγκης,
ᾗς δέ σε χεῖρες ἐμεῖο πανημαδὸν ἠώρηντο.
μὴ τεὰ παρ νεκύεσσιν ἀκηδέσι θαύματα ῥέξεις,
ἢ ῥά τοι ἰητῆρες ἀναστήσουσιν ἀοιδούς·
μήτις σὴν περὶ τύμβον ἄναξ ἐλεητὺν ἀείσει,
καί σευ ἀληθείην ἐρατὴν ἐπ' ὀλωλότι χώρῳ.

μὴ κνέφαϊ θνητὰ τεὰ προφανήσεται ἔργα,
ἢ σέθεν εὐδικίην προλελασμένη εἴσετ' ἄρουρα.
Τοὔνεκά σε ζώων μεθέπω καὶ λίσσομ' ἀρωγὸν,
ἠῶθεν δὲ λιτῇσι μετερχόμενός σε καλέσσω.
Τίπτε μοι εὐχωλὴν ἀγανόφρονα τηλόθι πέμπεις,
ἐκ δὲ τεὴν ἱκέταο τρέπεις παλίνορσον ὀπωπήν.
ἐξ ἥβης πτωχός τε καὶ ἐν καμάτοισι μεμηλὼς,
ὑψόθεν αὖ χθαμαλὸς γενόμην καὶ ἀμήχανος ἔργοις.
ἀμφ' ἐμὲ σεῖο μάκαρ πυκιναὶ διαμήνιες ἦλθον,
καὶ σῆς ἠνορέης ῥιγηλά με δείματ' ἄτυζε·
ἀμφί με κυκλώσουσι βαθύρροον οἷά περ ὕδωρ,
πάντοθεν ἀμφιβαλόντα πανημαδὸν ἔνθα καὶ ἔνθα.
γείτονα μὲν νόσφισσας ἐμόν θ' ἅμα πιστὸν ἑταῖρον,
οὐδέ τις ἀσχάλλοντι παρήγορος ἦλθε θυραῖος.

## Ψαλμὸς πη'.

Ἄξιον οὐρανίης πινυτῆς χαρίεντος Ἐπαίνου
ὄγδοον ὀγδοάτῃ ἀμφὶ μέλος δεκάδι.

Νωλεμέως ἔλεον βασιλεῦ τεὸν ὑμνοπολεύσω,
ἐκ γενεῆς γενεὴν δὲ μάκαρ νημερτέα λέξω.
φῆς ἐλεημοσύνην τετανέμεν ἤματα πάντα,
σεῖο τ' ἀληθείην ὑπὲρ αἰθέρα θέσθαι ἑτοίμην.
Συνθεσίην ποιησάμεθ' ἡμετέροισιν ἀρίστοις·
ὤμοσα Δαβίδῳ, θεράπων δ' ἐμὸς αἰὲν ἐτύχθη·
νωλεμέως σέο φῦλον ἐπιντύναιμι θοώκοις,
καὶ πολυκυδήεντα θρόνον σέο πάντοτε τεύξω.
οὐρανοὶ ὑμνήσουσι μάκαρ τεὰ θέσκελα ἔργα,
καί σευ ἀληθείη ὁσίων κλισίῃσι μελέσθω,
τίς ναέτης νεφέων πανομοίϊος ἔσσετ' ἄνακτι,
ἢ τίς τοί ποθ' ὁμοῖος ἐν υἱάσιν ἀθανάτοιο.

κύδιμος ἐν βουλῇς ἁγίων θεὸς αἰὲν ἐτύχθη,
ὡς μέγας, ὡς φοβερὸς, περὶ δὲ τρόμος εἷλεν ἅπαντας,
ἡγητὴρ σθενέων τίς τοι μένος ἰσοφαρίζοι,
αὐτὸς ἀληθείῃ κεκορυθμένος ἔργματα ῥέζεις.
αὐτὸς ἐρισμαράγοιο βίην κτεατίσαο πόντου,
κύματα μειλίσσων ἀέλλαις ὅτε κυρτὰ κορύσσει.
οἷά περ οὐτηθέντα ὑπέρβιον ἄνδρα καθεῖλες·
κάρτεϊ δὲ βρίθων στυγεροὺς ἐκέδασσας ἀλείτας.
οὐρανοί, ἠδὲ καὶ γαῖα τεῆς κτέρας εἰσὶν ἀνωγῆς,
εὐκύκλου παλάμῃσι θεμείλια θήκαο κόσμου,
καὶ βορέην καὶ πόντον ἀθέσφατον αὐτὸς ἔτευξας.
σοὶ περὶ Θαβώρος θ' Ἑρμωνοΐμός τε χορεύειν,
ἀστυφέλικτος αἰεὶ περὶ κάρτεϊ σῷ βραχίονι.
σὴ μεγαλιζέσθω προτὶ θάρσεϊ δεξιτερὴ χείρ·
εὐδικίη καὶ κρῖμα τεῷ περιΐσταται ἕδρῳ·
αὐτὰ σέθεν προθέουσιν ἀληθείη τ' ἔλεός τε.
ὄλβιος ἔπλετο λαὸς ἐπισταμένως ἀλαλάζων,
τῶν ἤτοι σέο φέγγος ἀγήραον ἡγεμονεύσει,
πάντοτε τερπομένων οἷσιν τεὸν οὔνομα τέρψις,
καὶ κλέος ἀμφιβόητον ὑπ' εὐδικίῃσι τεῇσιν
οὕνεκα σύ σφισιν εὖχος ἔφυς περιώσιον ἀλκῆς,
σοί τ' ἐπὶ θαρσαλέοι σφέτερον κέρας ὑψώσαιαν.
ἀθανάτου κατὰ γαῖαν ἀεὶ πέλει ἕρκος ἀρωγῆς,
ἀχράντου βασιλῆος, ἀγακλέος Ἰσραήλου.
δὴ τότε παισὶ τεοῖσι τάδε προσελέξαο βάζων,
κάρτος ἐπὶ κρατερῷ καὶ ἐπ' εὐρυβίῃ πέρον ἀλκήν.
ἐκ λαοῦ πανάριστον ἑῶν κόσμησα θοώκοις.
Δαβίδον θεράποντα φίλον καὶ ἔελδον ἐφεῦρον,
εὐαγεῖ δ' ἤλειψα δέμας περικαλλὲς ἐλαίῳ.
καὶ γὰρ νωϊτέρην παλάμην ἐπιτάρροθον ἕξει,

ἡμέτερος δέ μιν αἰὲν ἐποτρωώειε βραχίων.
οὔποτε δυσμενέεσσι γηθήσεται ἦθος ἐπ' αὐτῷ,
οὐδέ ἑ δυσνομίης ἐπὶ πήμασιν υἱὸς ἐλέγξει.
δερκομένου παλάμῃσιν ἑοῖς δηΐοις ἐναρίξω,
καί μιν ἀπεχθαίροντας ἐλεγχέας ἐξαναφήνω,
καί οἱ ἀληθείη, ἔλεος θ' ἅμα σύνδρομος εἴη,
ἀμφὶ δέ μοι μεγαλαυχὲς ἀειρόμενον κέρας ἕξει.
χεῖρα μὲν οἱ θήσαιμι δι' ἀτρυγέτοιο θαλάσσης,
καί οἱ δεξιτερὴ ποταμῶν καθύπερθεν ἀνάξει.
αὐτὸς ἀείζηλον ποθέων καλέσει με τοκῆα,
ἀλκτῆρα σφετέρου φάεος θ' ἅμα καὶ θεὸν ἴσχων.
πρωτότοκον δέ μιν αὐτὸς ἀμὸν φίλον υἱέα θήσω,
ὑψηλὸν μετὰ πᾶσιν ἀερσοπόνοις βασιλεῦσι.
νωλεμέως ἐλεητὺν ἐνηέα τῷδε φυλάξω,
καί οἱ συνθεσίης ἐρικυδέα πίστιν ἐρείσω.
ἐκ γενεῆς γενεήνδε φίλος σπόρος ἔμπεδος εἴη,
καὶ θρόνος αἰγλήεις, ὅσον οὐρανοῦ ἤματα μίμνει.
εἰ δέ κε κείνου παῖδες ἐμῶν λησαίατο θεσμῶν,
μηδὲ μεθ' εὐδίκῃσιν ὁμαρτήσοισιν ἐμῇσιν,
αἴκε δικαιοσύνην ἐμέθεν τεύξωσι βέβηλον,
ἡμετέρων δὲ γένωνται ἀμνήμονες ἐννεσιάων,
ἱέμενος σκήπτρῳ στυγερὰ σφέων ὄψομαι ἔργα,
σφωϊτέρας μάστιξιν ἀτασθαλίας ἐρεείνων.
τὴν δ' ἐλεημοσύνην προτέρην οὐ πάγχυ κεδάσσω,
οὐδ' ἐπ' ἀληθείῃ ἄδικον τι πρόσθε τελέσσω,
οὐδ' ἐπὶ συνθεσίῃσιν ἐμῇς ῥέξαιμι βέβηλα,
οὐδὲ μεταστρέψαιμι τὰ πὰρ χείλεσσιν ἔσπον,
ὤμοσα Δαβίδῳ, σταθεροῖς οὐ ψεύδομαι ὅρκοις·
ὄλβιον οἱ μετὰ πᾶσι διηνεκέως γένος ἔσται,
καὶ θρόνος ἠελίῳ παρομοίϊος αἰγλήεντι,

τοῖος ἐὼν οἷόν περ ἔφυ πλήθουσα σελήνη,
καί οἱ ναιετάων πιστὸς μέγαν οὐρανὸν ἵστωρ.
ἀλλὰ σὺ παντοδαποῖσιν ἄναξ μεθέηκας ἐλέγχοις·
ἀμβολίῃ χολωθέντα τεῷ παρέλασας ἑταίρῳ.
συνθεσίην ἔστρεψας ἐρισθενέος θεράποντος,
καί οἱ πᾶσι βέβηλον ἐπὶ χθονὶ θήκαο νηόν.
ἕρκεα οἱ σύμπαντα μεγακλείεντα καθεῖλες,
οἷσι πάρος φρουρεῖτο· τὰ δ' οἱ ῥίγιστα τέτυκτο.
καί ἑ παραστείχοντες ἀφαρπάζεσκον ὁδῖται,
λωβητὸς γεγένητο παρὰ σφετέροισι θυραίοις.
δεξιτερὴν ἀνάειρας ἐπειγομένων μιν ὀλέσσαι·
σφωϊτέροις κύδηνας ἀναιδέας ἁρπακτῆρας.
μαρναμένου ξίφεος κρατερὴν ἔστρεψας ἐρωήν,
οὐδ' ἐπιδευομένῳ κατὰ φύλοπιν ἤλυθες ἀρωγός,
ἀλλ' ἔμεν οὐλομένοισι μάχης πεπαλαγμένος ἔργοις.
ἆ πῶς οἱ στονόεσσα κατέρριπεν ὑψόθεν ἕδρη·
ἆ πῶς τόσσον ὄλεσσε μινυνθαδίῳ θρόνος ὥρῃ·
ἀντὶ δέ μιν στεφάνων, κατερήπτε πάντοθεν αἶσχος.
εἰπὲ μάκαρ, τέο μέχρι κοτεσσάμενος χαλεπαίνοις,
πυρσὸν ἀναπτόμενον στεναρὸν σέο θυμὸν ἀέξων.
μνῆσαι παμβασιλεῦ βρότεος βίος ὅσσος ἐτύχθη.
μὴ γὰρ μαψιδίως μερόπων τεκτήναο φῦλον;
τίς βροτὸς, ὃς θανάτοιο βίην καὶ δεσμὸν ἀλύξει,
ἐξ ἀΐδαο φίλον καλέων παλινάγρετον ἦτορ.
ποῦ μοι σῆς προτέρης ἐλεητύος ἄσπετος ἀλκή,
ἣν Δαβίδῳ πρόσθεν ὑποσχόμενος κατένευσας.
μηδὲ τεῶν δμώων ἐπιλήθεο μωμηθέντων,
ὧν πάρος ἡμετέρῳ φερόμην κακὰ νείκεα κόλπῳ·
ὥς σε πάρος δήιοι κακοεργέσιν ἔψεγον ἔργοις,
οἵ ῥα τεοῦ χριστοῖο καὶ εἰκόνα λωβήσαντο.

αἰνετὸς ἔσσε τ᾽ ἄναξ θεὸς ἔσσεται Ἰσραήλου.

Ψαλμὸς πθʹ.

Εἰ θέμις οὐράνιον φάσθαι βροτὸν, αἰὲν ἐτύχθη
Μωσῆς ἀθανάτου πιστότατος θεράπων·
ὃς πάρος εὐχωλὴν τήνδ᾽ ἴαχεν· ἣ δὲ τέτυκται
ὀγδοάτης δεκάδος ἀμφ᾽ ἐνάτῳ τε μέρει.

ΑΜμι μάκαρ γενεῆς ἔρκος ἔπ᾽ ἀήκτοισι γενέθλαις.
πρὶν ἕδρας ὀρέων, πρὶν καὶ χθονὸς ἔργμα γενέσθαι,
ἐκ παλαιῆς βασιλῆα καὶ εἰς αἰῶνα σε μέλψω.
μή μοι ἀποστρέψας χθαμαλὸν πάλιν αὖ ἔρα τεύξῃς,
κεκλόμενος μερόπεσσι βίον παλίνορσον ἱέσθαι.
χθιζὸν ὅπως ἐτέων σέο χιλιὰς ἦμαρ ἐν ὄσσοις,
ὃ πρὶν ἀποφθίμενον φυλακὴν ἐν νυκτὶ παρέσχε.
μωμητά σφισιν ἔργα γενήσεται εἰς ἐνιαυτούς.
ἠὼς ἠελίοιο παρελεύσεται οἷά περ ἄνθος,
ἠὼς ἀνθήσει τε, καὶ ἀνθήσασα παρέλθοι.
ἑσπερίη αὖ τῇ πέσοι, κάρφοιτό τε πετρωθεῖσα.
σεῖο γὰρ ἀδρανέες γεγενήμεθα μηνίσαντος,
αἰνὰ κοτεσσαμένοιο ταρασσόμενοι βασιλῆος.
δυσνομίας προὔθηκας ἐπ᾽ ὄμμασι σοῖσιν ἑτοίμως,
ζωὴ νωϊτέρη τελέθει σέο φέγγος ὀπωπῆς.
ἐξ ὀλιγηπελίης ἴκελοι γεγενήμεθα καπνῷ,
καί σευ ὀδυσσαμένοιο φίλην κατατηκόμεθ᾽ ἀλκήν.
ἡμετέροις ἐτέεσσι πανείκελός ἐστιν ἀράχνης·
ζωῆς ἀνδρομένης δεκάδες χρόνου ἑπτὰ πέλονται·
ἢν δ᾽ ἔπι ζήσαιμεν ἐπὶ πλέον ὀγδώκοντα,
τῶν δὲ κόπος καὶ μόχθος ἀεὶ βίου ἐστὶ περισσόν.
οὕνεκα μειλιχίης βροτέην δαμάσειε γενέθλην·
τίς σέο χωομένοιο μέγα φρεσὶ κάρτος ἀνέγνω.
τίς σευ ἀεθμήσειεν ἀμειδέα δείματα θυμοῦ.

δεξιτερὴν ἐΰτιμον ἄναξ σφίσιν ὧδ' ἀναφαίνοις,
ὅσσοις ἀθανάτη σοφίη πραπίδεσσι μέμηλε.
παύεο χωόμενος· τί νόον βαρύμηνιν ἀέξεις;
σεῖο μάκαρ δμώεσσι λιταζομένοις ὑποείκοις.
ἐξ ἠοῦς ἐλέῳ βεβρίθαμεν ἄφθιτε σεῖο,
τερπωλῇ καὶ εὐφροσύνῃ φρένας ἤματα πάντα·
ὧν χάριν ἡμερέων περὶ σοὶ δεδμήμεθα μόχθοις,
αἵτ' ἐτέων ὧν πρόσθεν ἐλεύσομεν ἄλγεα πᾶσα.
δέρκεο σοὺς θεράποντας ἀκήρατε, καὶ σέθεν ἔργα·
τῶν δ' ἄρα παισὶ φίλοισι παλίσσυτος ἡγεμονεύοις.
ἀγλαΐη βασιλῆος ἀοίδιμος ἄμμι φανείη,
ἔργα δὲ νωϊτέρων εὐθύνειας παλαμάων.

## Ψαλμὸς Ϟ.

Αἶνον ἀγακλείεντα μέγας Δαβίδος ἔμελψε
καλλιχόρων μελέων ἐς ἐνάτην δεκάδα.

Ἄφθιτε ναιετάων ὑψαύχενος ἄγκαρ ἀρωγῆς,
ἐν σκέπῃ βασιλῆος ἐπουρανίοιο διάξει·
ἐξερέει βασιλῆϊ, βίη καὶ πύργος ἐτύχθης,
σὺ θεὸς ἄμμι πέλεις, καὶ ἀοίδιμος ἐλπὶς ἀρωγῆς·
αὐτὸς ἐπεὶ ῥύσαιτο λίνοιό με θηρητήρων,
μύθου τ' ἀταθέος ταραχῆς περιπεπληῶτος.
αὐτὸς ἄναξ σκιερῷ σε μεταφρένῳ ἀμφικαλύψεις·
ἐλπίδα σὴν πτερύγεσσιν ὑπ' ἀθανάτοισι δοκεύοις·
ἀμφὶ δ' ἀληθείη θωρήξειεν οἷά περ ὅπλῳ,
οὔποτέ μοι νυχίῳ περὶ δείματι δειμήνειας,
οὐδὲ μεθημέριον πταμένου ῥοιζηδὸν ὀϊστοῦ,
οὐδ' ὑπονισσομένου σκοτίοις περὶ πυθμένας ἔργου,
οὐδ' ὑπὸ δαιμονίου τε μεσημβρινοῦ αἰπόωντος.
ἐκ σέο μὲν λαιῆς παλάμης κατὰ χιλιὰς ἔρροι,

ἐκ δ' ἄρα δεξιτερῆς μάλα μυριάς αὖ τι πεσεῖται.
ἀλλ' οὔ πῃ ποτὲ σεῖο δυνήσεται ἆσσον ἱκέσθαι·
ἔμπα γε μὴν καθαροῖσιν ἐν ὀφθαλμοῖσι δεδορκὼς,
ἄξιον ἀμπλακίης κακοεργέος ὄψεαι αἶνον·
αὐτὸς ἐπεί ῥ' ἔμεθεν φυσίζοος ἐλπὶς ἐτύχθης,
ἢ ἔα παρ' ὑψίστῳ φορέεις τεὸν ἤχι με θάρσος.
μήποτε δείδιθι πάγχυ κακὸν ξυνιοῦσαν ἀνάγκην,
μηδ' ἀλύῃς ὅτι σεῖο δέμας μάστιγι δαμείη·
ἀμφὶ σέθεν στρατιῇσιν ἐπουρανίῃσι κελεύσει,
ὄφρα κεν ἐν πάσῃσι περισχῶσιν ὁδοῖσι·
καί σε μάκαρ παλάμῃσιν ἀερσάμενοι φορέοιεν,
μήποτε λιμήεντα τεὸν πόδα λᾶι καθάψῃς.
ἀσπίδα θαρσαλέως ἐπιβήσῃ καὶ βασιλίσκον,
ἰοβόλον δὲ δράκοντα ποσὶν καὶ θῆρα πατήσεις.
ῥυσαίμην μιν ἐμῇ μεμνημένον ἠπίδι θυμῷ,
οὗ δέ μιν ἀμφιέσω· μάλα γὰρ μάθεν οὔνομ' ἐμεῖο·
τοῖο λιταζομένοιο θοώτερον αὐτὸς ἀκούσω,
καὶ οἰκτειρομένῳ πέλας ἔσσομαι ἤματα πάντα·
ῥυσάμενος δέ σε, κῦδος ἀεὶ μεγαλαυχὲς ὀπάσσω,
καί μιν ἐνὶ πλήσαιμι ἀπερμάντοισι γενέθλαις·
νωλεμέως οἱ φέγγος ἀγήραον ἐξαναφήνω.

## Ψαλμὸς ϟα.

Πρῶτος ἐνενηκοστός τε τῶν σοφῶν μελῶν
ὁ ψαλμὸς οὗτος ἡμέρας εἰς σαββάτου.

ΩΣ ἀγαθὸν βασιλῆα μεγακλήεντα λιγαίνειν,
καὶ πολυκύδιστον κιθάρῃ τεὸν οὔνομα μέλπειν,
ἐξ ἠοῦς ῥέοντι περιφραδέως ἐλεητύν,
καὶ σέο λιμήεσσαν ἀληθείην διὰ νυκτὸς,
νεύρων πλεξαμένῳ δεκάδα φόρμιγγι λιγείῃ,

ὡς γάνυμαι. μάλα γάρ με τεοῖς μάκαρ ἔργμασι θέλ-
καὶ σέο θεσπεσίοισι νόον κεχαρήσομαι ἔργοις. (ξεις,
ὡς κεν ἀνυμνήσειε τεὴν μεγαλαυχέα τέχνην·
ὡς πινυτὴν μήτισε περὶ πραπίδεσσι βαθεῖαν.
οὔ τίς τοι τάδε νῆις ἐνὶ φρεσὶν εἴσεται ἀνήρ,
οὐδ' ἀεσιφροσύνῃ μεμηνημένος αὐτὰ νοήσει·
οὔτ' ἀδίκους θαλέθοντας ἐπόψεται ἠύτε χόρτον,
ὑψόθεν ὀλλύοντας ἀθεσμοσύνης ὑποφήτας·
ὄφρ' αἰεὶ σφετέροιο κακοῦ ἄρξειαν ὀλέθρου·
ἀθάνατος δὲ σὺ μοῦνος ἄναξ ὕψιστος ἐτύχθης.
δυσμενέων ἀπόλοιτο τεῶν κακοεργέα φῦλα.
πανσυδίῃ δ' ἀνέμοισι κεδασθήσονται ἀλεῖται,
οἷα δὲ μουνοκέρωος ἐμὸν κέρας ὑψόσε θύοι,
καὶ πολιὸν θαλέθοι περὶ πίονι γήραος ἐλαίῳ.
δυσμενέων πελύμοχθον ἐμὸν ἶσον οἶτον ὀπωπῇ,
πικρῆς δ' ἀπηνείων τερφθήσομαι ἀγγελίῃσι.
τῆμος ἄρ' ἀνθήσει ὅσιος βροτὸς οἷά τε φοῖνιξ,
ἶσά γε βεβριθόμενος χλοερῇ λιβανίτιδι κέδρῳ.
ὅσσοι θεσπεσίοισι δόμοις πεφυτευμένοι εἰσίν,
αὐλῆς ἀθανάτησιν ἐπανθήσουσι θεοῖο.
παλέυ πλήθοντες ἔτι περὶ γήραος ὥρῃ,
ὡς θέμις ἐσθλὰ παθόντες ἀπαγγελέουσιν ἑκάστῳ·
οὕνεκεν ἰθύφρων βασιλεὺς θεὸς αἰὲν ἐτύχθη,
οὐδ' ἄδικον περὶ πραπίδεσσι νόον πινυτοῖσι καλύπτει.

Ψαλμὸς ϟβ΄.

Ἤματι σαββάτου τὸ μέλος Δαβίδος ἔμελψε
ἀμφ' ἐνενηκοστὸν δεύτερον ἐκτελέσας.

Ἀθάνατος βασίλευσεν, ἑὸν δ' ἐνεδύσατο κάλλος·
δυσάμενος δ' ἐρατεινὸν ἄναξ ἐζώσατο κάρτος.

ἀσφαλέως δ' ἀδόνητον ἄπειρον θήκατο κόσμον.
ἄφθιτε σεῖο δὲ θῶκος ἑτοιμότατος πέλει αἰεί·
ἐκ παλαχῆς κόσμοιο μακάρτατος ἔπλεο μοῦνος.
πάντοθεν εὐκέλαδοι ποταμοὶ βοόωσι ῥεέθροις,
ῥοίζῳ κυματόεντι λιλαιόμενοι κελαείζειν,
ἐξ ἀναειρομένων πολέων ὑδάτων ὀρυμαγδοῦ.
πάντα πέλει θνητὰ μετήορα ἔργα θαλάσσης·
μοῦνος δ' ἄναξ θνητοῖς ἐν ὑψηλοῖσιν ἐτύχθη.
μαρτυρίαι σεῦ δ' ἄναξ συμφραδμονα πίστιν ἔχουσιν.
νηῷ ἀκηρασίη βασιληΐῳ αἰὲν ἀρήρει,
ὥρῃ ἀπερμάντῳ καὶ ἐπ' ἤμασι μηκεδανοῖσιν.

## Ψαλμὸς ϟγ.

Τετράδι σαββάτων γλυκερὸν Δαβίδος ἄεισε
ἀμφ' ἐνενηκοστὸν ἡδὺ μέλος τρίτατον.

Ἀθάνατος μετὰ πᾶσιν ἀεὶ πέλει ἔκδικος ἐσσήν·
οὔτιν' ἐρευθιόων βασιλεὺς ποινῇσι δικάζει.
καλὰ θεμιστεύων, ἀναείρεο κοίρανε γαίης,
μισθὸν ὑπερφιάλοισιν ὑπερβασίας ἀποτίσοις.
κλῦθι μάκαρ, τέο μέχρι βίῃ κρατέουσιν ἀλῆται·
μέχρι τεῦ ἀμπλακίης ὑποφήτορες αὐχήσουσι,
γλώσσῃ βρυχόμενοι κραδίης ἀθεμίστιον ὕβριν·
ἐργατῖναι κακότητος ἀδίκω ἐρέουσιν ἄπαυστα,
οἳ σέο λαὸν ἄναξ δαπέδῳ θέσαν ἶσον ἀνάγκῃ,
καὶ κλῆρον κακότητι τεὸν διέτμησαν ἰόντες.
ὀρφανικὸν κατέπεφνον, ἐχρώσαντο δὲ χήρην,
καὶ ξεῖνον δαμάσαντο νεήλυδα νόσφιν ἀρωγοῦ.
οὐδ' ὅτιν οὐρανίην βασιλήϊον ἐμπάζοντο.
οὐ γὰρ Ἰακώβου δόκεον θεὸν ἴδμεναι ὕβριν.
ἀλλ' ἄγε σύνθετε κραδίῃ τάδε νήπιοι ἔργα,

οἷς πρὶν ἐπ' ἀφροσύνῃ βίοτος, ξυναγείρατε θυμόν.
ἦ ῥ' ἀκοὴν ἑτέροισι διδοὺς, οὐ μᾶλλον ἀκούσει;
ἢ φάεος γενέτης, ἑτέρων οὐκ ὄψεται ἔργα;
ἔθνεα παιδεύων, κακίην οὐκ οἶδεν ἐλέγχειν,
ὃς μοῦνος μερόπεσσι νοήματα πάντα φυτεύει;
μαψιδίην δεδάηκεν ἄναξ μεροπηΐδα βουλήν.
ὄλβιος ὅς ῥα τεῇσιν ὑπ' ἐννεσίῃσι δαμείη,
θεσμοτόκοις μελεδῶνας ἑῆς φρεσὶ σεῖο νοήσας·
μείλιχα βουλεύων κακίης ἵνα καιρὸν ἀλύξῃ,
βόθρος ἕως δυσάλυκτος ἀτασθάλλοντι φανείη.
οὐ γὰρ ἑῆς ποτὲ λαὸν ἀπορρίψειεν ὀπωπῆς,
οὐδὲ καταφθιμένην σφετέρην ὑπερόψεται αἶσαν,
εἵως κρῖμα τεκοῦσα δικαιοσύνη πάλιν ἔλθῃ,
πάντας ἀποκρεμόωσα φίλων ἰθύφρονας ἔργων.
τίς μ' ὀλοῶν τεύξειεν ἀναστήσας ὀλετῆρα,
τίς δέ με θωρήξας ἀνόμων ἐπὶ δῆριν ἐγείρῃ,
εἰ μή μοι μενέχαρμος ἄναξ ἐπιτάρροθος ἔστη,
καί κεν ἐμὸς πεπότητο ζωέστιος ἀΐδι θυμός.
εὖ τε γὰρ ὀκλάζοντι νόῳ ποτὶ φύζαν ἐδέγμην,
αὐτίκα σή μ' ἐλεητὺς ἄναξ ἐσάωσε φανεῖσα·
ὅσσον δ' ἀμφ' ὀδύνῃσιν ἀμέτρητον φέρον ἄλγος,
σῇσι παραιφασίῃσιν ἐμὸν περὶ θυμὸν ἰαίνω.
μήτοι θῶκος ἄναξ ἀθεμίστιος ἐγγύθεν ἔστω,
ὅς τις ῥιγεδανῷ τελέει θεσπίσματι μόχθον,
ἀνέρος ἰσχανόων ὁσίου διὰ θυμὸν ὀλέσσαι·
μαψιδίως πόθεν οἶτον ἀναιτίῳ αἵματι ἐάπτειν,
ἀλλά μοι αὐτὸς ἄναξ πανυπέρτατος ἕρκος ἔγεντο,
ἠπωρῆς ἐπίκουρος ἐμῆς θεὸς ἤλυθεν ἑτοῖμος.
ὃς κείνοις ὀπάσσειεν ἑῆς ἀντάξια λώβης,
καί σφεας ἀμφ' ἔργοισιν ἄναξ σφετέροις ἀμαθύνει.

## Ψαλμὸς ϟδ.

Δαβίδου πινυτοῦ καλλιχόρου κιθάρης
ἀμφ' ἐνενηκοστὸν τέτρατος εὐεπίη.

Δεῦτ' ἐπαγαλλόμενοι γηθήσομεν ἀμφὶ ἄνακτι,
μέλψομεν ἀθανάτῳ παιήονα ποιμένι κόσμου.
ἀμφ' ἀγανοφροσύνῃ θείην μετέπωμεν ὀπωπὴν,
γηθόμενοι ψαλμοῖσιν ὁμῶς ἀλαλάζομεν ὕμνον·
οὕνεκα δὴ μετὰ πᾶσι θεὸς μέγα κάρτος ἀέξει,
καὶ πάντων μακάρων βασιλεύτατος αὐτὸς ἐτύχθη.
οὔποτ' ἀπορρίψει φίλον καὶ ἐνηέα λαὸν,
ἀθανάτῳ παλάμῃ μετέπων κλυτὰ πείρατα γαίης,
οὔρεσιν ὑψικόμοισιν ὑπέρτατος ἐμβασιλεύων·
αὐτὸς πόντον ἔτευξεν, ἀνακτορίη δέ μιν ἴσχει,
καὶ χθόνα πουλυβότειραν ἑαῖς τεκτήνατο χερσί.
δεῦτε λιταζόμενοι περὶ γούνασιν οἷσι πέσωμεν,
ἄντα θεοῦ κλαύσωμεν, ἐὸν δ' οἱ κπόσεται ἔργον,
οὕνεκεν ἡμείων βασιλεὺς ἅμα καὶ θεὸς αὐτὸς,
τοῦ δ' ἡμεῖς ἄρα λαὸς ὁμοῦ καὶ θρέμματα ποίης.
σήμερον εἴκεν ἄνακτος ἀκούσετε οὔασιν αὐδὴν,
μή τινι χαλκείη κραδίη καὶ ἀμείλιχος εἴη,
ὡς ὁπότ' ἀθανάτου κραδίην γ' ἐπίζετε ἔργοις,
ὡς πάρος εὖτε θεοῖο κατὰ τρηχεῖαν ἔρημον,
ἡμέτεροι προπάροιθεν ἐπειρήσαντο τοκῆες·
οἱ μὲν τεσσαράκοντ' ἐτέων ἴδον ἔργα καὶ ἀλκήν·
ἔνθεν ἐγὼ κείνην ὀλοὴν ἔστυξα γενέθλην,
ἐκ δ' ἐφάμην, κραδίῃσι διηνεκέως ἀλάληνται,
ἡμετέρας δ' οὐ πάμπαν ἐπεφράσαντο κελεύθους·
ὤμοσα μηνίσας, μὴ σφᾶς κατάπαυσιν ἰδέσθαι.

Ψαλμὸς ϟε'.

Δώματος αἰγλήεντος ἀεξομένου βασιλῆος
Δαβίδος κελάδησεν ἄναξ μετὰ ληΐδος αἶσαν,
ἀμφ' ἐνενηκοστὸν πέμπτον ἄεισμα λιγύ.

Μέλψατέ μοι βασιλῆα νεηγενέεσσιν ἀοιδαῖς,
πᾶσα μεγασθενέτην ἀναμέλψατε ποιμένα γαῖα·
οὔνομα τιμῆεν κελαδήσατε παμβασιλῆος·
αἴσιον ἦμαρ ἐπ' ἦμαρ ἐὸν σημήνατε φέγγος.
ἔθνεσι παντοδαποῖσιν ἑὴν ἀγγείλατε τιμήν.
θαύματα τιμήεντα θεοῦ μηνύσατε λαοῖς·
οὕνεκα δὴ μέγας ἐστὶ καὶ αἰνετὸς αἰὲν ἐτύχθη,
καὶ δέος ἐν πάντεσσι θεοῖς κρατερώτατον ἴσχει.
δαιμονίων εἴδωλα θεοὶ πέλον ἔθνεσι πάντες·
οὐρανὸν αὖ πολύχαλκον ἑῇ θεὸς ἔκτισε βουλῇ.
αἶνος δὲ μέγα κάλλος ἐὼν καὶ ἐνδύμιον ὄσσων·
νηῷ ἀκηρασίην δὲ ἀειπρεπὲς ἥρμοσεν εὖχος.
οἴσετε παμβασιλῆϊ θεῷ τιμήν τε δὲ εὖχος·
οἴσετε τιμήεντι φερώνυμον εὖχος ἄνακτι·
δεξάμενοι θυσίας σφετέρας νίσσεσθε ἑὰς αὐλάς·
αὐλῇ ἐν εὐαγεῖ λιτανεύσατε ποιμένα κόσμου·
ἄντα θεοῦ χθὼν πᾶσα ταρασσέσθω βασιλῆος.
εἴπατε δήμοισί γε, θεὸς μετὰ πᾶσιν ἀνάσσει.
καὶ γὰρ κύκλον ἔρεισε, τὸν οὐ χρόνος οἶδε δονῆσαι·
λαοὺς ἰθυπόροισιν ἀεὶ θεσμοῖσι δικάζει.
οὐρανοὶ εὐφραίνοιντο, ἀγαλλέσθω δ' ἅμα γαῖα·
πόντος ὀρινέσθω δὲ ὅσα τρέφει οἶδμα θαλάσσης·
καρποτόκοις πεδίοισιν ὁμοῦ σύμπαντα χορείη.
δὴ τότε γηθήσειεν ὁμοῦ δρυμὰ πυκνὰ δὲ ὕλη,
ἄντα θεοῦ μετὰ γαῖαν ἐπειγομένου βασιλῆος,
ἤλυθε γὰρ μερόπεσσιν ὀϊζυροῖσι δικάζειν,

πάντας ὑπ' εὐδικίης καλέων ἀψευδέα θυμόν,
γλῶσσαν ἐνηθέη περιχέων ἀκλινέα λαοῖς.

## Ψαλμὸς ϟϛ'.

Δαβίδου παλίνορσον ἑλὼν ὅτε δέξατο γαῖαν,
ἀμφ' ἐνενηκοστὸν ἕκτον ἄεισμα φίλον.

Χαῖρε χθὼν, σέθεν ἦρξεν ὃς οὐρανίοισιν ἀνάσσει,
χαίρεθ' ἐπ' ἀγλαΐῃ νῆσοι πολλῆς ἁλοσύδνης.
ἐγγὺς ἄναξ νεφέλῃ πεπυκασμένος ἠδὲ θυέλλῃ,
θῶκον ὑπ' εὐδικίῃ κρίσιος περὶ πάντα πυκάζων.
κοιρανίης σθεναρῆς περιπροθύσεται αἰθόμενον πῦρ,
ὄφρα κεν ἔνθα καὶ ἔνθα καταφλέξειεν ἀγείτας.
χθὼν ὑπὸ θεσπεσίῃσιν ἐλάμπετο μαρμαρυγῇσιν·
ὡς δ' ἴδεν, ὡς δεδόνητο θεμείλια πάντοσε γαίης·
οὔρεα δ' ἀμφὶ ἄνακτι ὁμῶς κατετήκετο κηρῷ
γαίης παντοδαπῆς κατενώπια παμβασιλῆος.
οὐρανοὶ ἀστερόεντες ἀνήγγειλαν θέμιν αὐτοῦ,
καὶ κλέος εἶδεν ἅπαντες ἐπουρανίου βασιλῆος.
αἰδείσθων περικυλινδόμενοι γλυπτοῖσι πάροιθε,
κῦδος ὅσοι παρέχουσιν ἐνὶ σφετέροις εἰδώλοις.
ἄγγελοι αἰγλήεντες ὁμῶς ὑποκλίνατε γοῦνα.
τέρπη ἑῇσιν ἐνὶ φρεσὶν ἔξοχα οὔρεα Σιὼν,
καὶ περὶ πίδεσσι χόροντο ποσίκροτ' Ἰούδα κοῦραι,
ὑψιμέδοντες ἕκητι μεγασθενέος σέο δίκης·
οὕνεκα μοῦνος ἔπλευ πανυπέρτατε τέρμασι γαίης,
ὡς οὔτις κλυτόμητι λίην θεὸς ὑψόσε ἤρθης.
ἐκ κραδίης φιλέοντες οἷον θεὸν, μέρμερα θέσθε·
ὧν θυμὸν φιλέει πανεπίσκοπος ἔξοχα δούλων,
καί σφεας αἰὲν ῥύσει' ἀλάστορος ἐκ παλαμάων.
αὐτολίη περίλαμψεν ἐπὶ βλεφάροισι δικαίου,

τερπωλή τ' ἀφ' ὕπερθεν ἐΐσκετο εὐθέων ἦτορ.
παμβασιλῆϊ χάριτι ἀμύμονες ἰθυδίκαι,
καὶ βροτέοις οὔασιν ἐνήσατε τοῖο γε μνήμην.

Ψαλμὸς ϟζ.

Καὶ τόδε ἀμφ' ἐνενηκοστῷ ἕβδομον ἦσε Δαβίδος.

Μέλψατέ μοι βασιλῆα νεηγενέεσσιν ἀοιδαῖς,
μοῦνος ἐπεὶ θνητὰ σφαῖς ποιήσατο χερσί.
δεξιτερῇ σφετέρῃ ζωαρκέϊ πάντα σαώσει,
καὶ πολυκυδήεντι βραχίονι πάντα φυλάσσει.
παντοδαπῶν ἀλκτῆρα κακῶν ἀνέφηνε βροτοῖσιν,
ἀθάνατον κατέναντα πολυσπορέων γενεάων·
σφωϊτέρην ἀνέτειλε δικαιοσύνην ἐρατεινήν.
μνήσατο γὰρ κατὰ θυμὸν Ἰακώβοιο μελάθρων,
οἷό τ' ἀληθὴς περὶ δώμασιν Ἰσραήλου.
ἀμφαδίην ἐνόησαν ὅλης κλυτὰ πείρατα γαίης,
φέγγος ἀλεξίκακον μεγαλοσθενέος βασιλῆος.
πᾶσα μεγακλειένθ' ἀλαλάξατε ποιμένι γαῖα,
ψάλλατε γηθόσυνοι, λιγυρῷ δ' ἀναμέλψατε κώμῳ,
εὐκελάδῳ κιθάρῃ φορμίζετε παμβασιλῆϊ,
ἀμφ' ἐλάτης σάλπιγξι καὶ οἱ κέρας ἴαχε βόμβον,
αἴτιον ἀθανάτου ἀλαλάξατε παμβασιλῆος.
πόντος ὀρινέσθω, καὶ ὅσα τρέφει οἶδμα θαλάσσης,
κύκλος ὅλος, καὶ πάντα τὰ περ χθόνα ναιετάουσι·
χερσὶν ἀγειρέσθων ποταμοὶ πλαταγεῦντες ὁμαρτῇ·
οὔρεα τερπέσθων θεοῦ κατέναντα προσώπου·
εἶσι γὰρ, ἤλυθε δὲ μᾶλλον, ὅπως χθονὶ καλὰ δικάζοι,
πάντας ὑπ' εὐδικίης καλέων ἀψευδέα θεσμὸν,
γλῶσσαν ἐπασσυμένοις περιΐεις ἀκλινέα λαοῖς.

Ψαλ-

### Ψαλμὸς ϟη΄.

*Ἀμφ' ἐνενηκοστῷ ὄγδοον ἡδὺ μέλος*
*Δαβίδου λιγυρῇ μελπομένου κινύρῃ.*

Ἀθάνατος βασιλεύει θεὸς, μὴ χαίρετε λαοί·
ἥμενος ἦλθε Χερουβὶμ, ὅλης χθονὸς οὖδας δονείσθω.
κλεινὸς ἄναξ μέγας ἐν λαοῖσι θεοῖσί τ' ἀγητός·
μελπόντων ἅμα πάντες ἀγήραον οὔνομα σεῖο·
οὕνεκα δὴ φοβερόν τε καὶ ἀπεριόπτον ἐτύχθη,
καὶ τιμὴ βασιλῆος ἀεὶ θέμιν ἀμφαγαπάζει.
αὐτὸς Ἰακώβῳ ἰθύφρονα δῶκας βουλὴν,
εὐδικίην ψῆφόν τε τεῷ πόρες Ἰσραήλῳ.
ἄφθιτον ἡμείων ἀναείρατε παμβασιλῆα,
λισσόμενοι θρῆνυν σφετέρην· ἅγιος γὰρ ἐτύχθη.
Μωσῆς ἀμφ' ἱερεῦσι μέγας, καὶ ἀοίδιμος Ἀαρὼν,
ἐν δὲ λιταζομένοισι Σαμουῆλος μενέχαρμος·
κεῖνοι μὲν λιτάνευον· ὁ δ' ἀντεφθέγγετο φωνῇ,
καί σφεας ἐκ νεφέλης σταθερῆς ἠμείβετο μύθῳ.
ἐσθλοὶ μαρτυρίης φύλακες ἐγένοντο θεοῖο,
θείων δ' οὐκ ἀμέλησαν ὅσων μάθον ἐννεσιάων.
ἄφθιτε, σὺ σφίσι δῶκας ἀπ' οὐρανοῦ οὖας ἑτοῖμον,
καὶ θυμὸς μετὰ τοῖσιν ἀεὶ σέθεν ἵλαος ἦεν·
πάντα δ' ἅ κεν ῥέζεσκον, ἐπιθύνεσκες ἀρωγήν.
ἄφθιτον ἡμείων ἀναείρατε παμβασιλῆα,
ἀχράντῳ δέ μιν αἰὲν ἐν οὔρεϊ γουνάζεσθε,
οὕνεκα δὴ μετὰ πᾶσιν ἄναξ ἄχραντος ἐτύχθη.

### Ψαλμὸς ϟθ΄.

*Ἀμφ' ἐνενηκοστῷ ἔνατον ἆσμα κλυτόν.*

ΠΑσα μεγακλείεντ' ἀλαλάξατε ποιμένα γαίη·
ἀθανάτου χαίροντες ὑπὸ ζυγὸν αὐχένα θέσθε.
σπεύσατε γηθόμενοι θεῶν καὶ ἐνώπιον ὄσσων·
αὐτὸν ἀεὶ πραπίδεσσι νοήσατε παμβασιλῆα.
ζωὴν αὐτὸς ἔτευξε βροτοῖς, οὐχ ἡμέες αὐτοί·
αὐτὸς ἔτευξ' ἡμέας, οὐδ' ἡμεῖς ἄρκιοι εἰμέν·
ἡμεῖς αὐτοῦ ἔο λαὸς ὁμοῦ καὶ θρέμματα ποίης.
σπεύσατε γηθόμενοι θεῶν ἔντοσθε πυλάων
ἐν δ' αὐλῆς βασιλῆα θεὸν λιτανεύσατε μολπῇ.
οὔνομα μέλψατε θεῖον ἐπὶ χθονὶ μείλιχον αἰεί,
νωλεμέως γενεὴν ἐπὶ μετὰ πᾶσι φυλάσσει·
ἐκ γενεῆς γενεὴν δὲ φέρει παναληθέα βουλήν.

## Ψαλμὸς ρʹ.

Δαβίδος ἦσεν ᾆσμ' ἑκατοστὸν τόδε.

ΕΙν ἐνὶ σεῦ ποινὴν βασιλεῦ ἔλεόν τ' ἀναμέλψω·
φορμίζων ξυνίοιμι ἀμωμήτοις ἐν ἀταρποῖς.
δέγμενος ὁππότε δή μοι ἀφίξεαι ἄφθιτε ποιμήν.
ἀμφ' ἀγανοφροσύνῃ διὰ δώματος ἤϊα μέσσου,
οὐδὲν πάμπαν ἄθεσμον ἐν ὀφθαλμοῖσι δοκεύων,
ἀλλ' ἔτι καὶ στυγέων ἀλιτήμονας ὑβριστῆρας.
οὐδέποτ' ἀμφοτερόσταλλος ἐμοὶ πάρος ἥνδανε μῆτις·
φθόγγε μὲν αἰνὸς ὄφις, δολερῶν δ' ἀδάητος ἔμιμνον·
οὖας ἐμὸν πέφρακτο κακηγορέοντος ἀκοῦσαι·
οἷα δὲ λυμαντῆρα φίλων ἐδίωκον ἑταίρων.
ἀπλήστῳ κραδίῃ καὶ ὑπερφιάλοισιν ὀπωπαῖς
οὐκ ἔθελον παρὰ δαιτὶ φίλος καὶ ὁμέστιος εἶναι.
ἀνδράσιν ἀμφ' ὁσίοισιν ἐμαὶ ἐτάνυθον ὀπωπαί,
ξυνὸν ὅπως μοι θῶκον ἅμ' ἑδριόωντες ἔχοιεν·
δρηστῆρ' ἀτραπιτοῖς θ' ὁσίοις μεμελημένον εἶχον,

οὐδέ μοι ἐνναίεσκε δόμοις ὑπερήφανος ἀνήρ·
οὐδ' ἄδικον λαλέων μευ ἐναντίον ἤλυθεν ὄσσων.
ἠῶθεν κατέπεφνον ἀτασθαλίης ὑποφήτας,
δυσνομίης μεμαὼς δαμάσαι θεὸν ἐχθαίροντας ὀλέθρῳ.

Ψαλμὸς ρα'.

Εὐχωλὴ πτωχοῖο κακῇ βεβαρηότος ἄτῃ,
ὅν τε μάλ' εὐχωλὴν προχέει κατένωπι θεοῖο·
ἔμπα γε μὴν ἑκατοστὸν ἔφυ καὶ πρῶτον ἄεισμα.

ΕΥχῆς ἡμετέρης ἐπικέκλυθι φέρτατε ποιμήν·
οὔατι δευομένοιο τεοῖς ὑποδέχνυσο φωνήν.
μή μευ σὴν χαρίεσσαν ἀποστρέψας ὀπωπήν·
πειρομένῳ κλίνας ἄναξ ὀξεῖαν ἀκουήν.
ὅν τε μάκαρ καλέσω σέ, θοῶς φίλον οὖας ἐρείδοις·
οὕνεκ' ἐμὴ ζωὴ ἰκέλη κατατήκετο καπνῷ·
ὀστέα δ' ἀζαλέῳ φρυγίῳ κατακαίεθ' ὁμοῖα.
ἐπλήγην ἅτε χόρτος, ἐμὸς δ' ὑπεκάρφετο θυμός·
γαστέρι δ' ἐκλαθόμην δόμεναι φίλον ἄρτον ἀνάγκης·
νωϊτέρῃ στοναχῇ περιπίλναται ὀστέα σαρκί·
δέρκεσθαι φαίης κεν ἐρημονόμον πελεκάντα,
ἢ νυκτὸς κόρακα ψιλῶν δαπέδων ναετῆρα,
ἢ στρουθόν τιν' ἄυπνον ἐόντ' ἐν δώματι μοῦνον.
δυσμενέες μ' ἐπέεσσι πανημέριον στυφέλιζον,
οἱ δὲ γεραίροντές με μάτην ἐπὶ ὅρκον ὄμοσσαν·
οὕνεκα πειρόμενος πασάμην σποδὸν ἄρτῳ ὁμοίην,
καὶ γοεροῖς ἔπιον πόμα δάκρυσ' ὁμοῦ γε κεράσσας,
μηνίος ἐξ ὀλοῆς πανυπέρτατε καὶ σέο θυμοῦ,
οὕνεκεν ὑψώσας μ' ἐξ αἰθέρος ἔκβαλες αὖθις.
ἡμετέρου αἰῶνος ὅπως σκιὴ ἤματα λήγει,
χόρτῳ δ' ἀζαλέῳ πανομοίϊος αὐτὸς ἐτύχθην.

μοῦνος ἐπεὶ ζώοντα διηνεκέως βίον ἥκεις,
ἐκ γενεῆς γενεὴν δὲ βροτοῖς μνημήϊον ἴσχων.
αὐτὸς ἀνεγρόμενος βασιλεῦ Σιὼν ἱλεαίροις·
ὥρη γὰρ μάλα τὴν δὲ πιεζομένην ἐλεαίρειν·
καὶ δὴ καιρὸς ἐκεῖνος ἐπέχραεν ὃν πρὶν ἔδεκτο·
οὕνεκά σοι θεράποντες ἑαῖς λάϊγξιν ἔθεντο,
καὶ σφέτερον κραδίῃσι κονίσαλον οἰκτείσονται·
πάνθ' ἅμα δειμώσαν ἄναξ τεὸν οὔνομα φῦλα,
πάντες σὴν ταρβοῖεν ἐϋκλείην βασιλῆες,
οὕνεκα τεκτήνατο θεὸς Σιῶνα πεσοῦσαν,
ἀμφαδίην μερόπεσσι φαεινόμενος κατὰ γαῖαν.
ἱκεσίην χθαμαλῶν πανεπίσκοπος ἔδρακε ποιμὴν,
οὐδ' ἐτ' ὀνοσσάμενος σφετέρων ἀμέλησε λιτάων.
γράψατε δή μοι ταῦτα μετ' ὀψιγόνοισι γενέθλαις,
καὶ λαὸς σέο χερσὶ γενησόμενός σε βοήσει,
οὕνεκεν ὑψόθεν αὐτὸς ἐπεσκοπιάζετο κύψας,
οὐρανόθεν μετὰ γαῖαν ἑὴν ἐτάνυσσεν ὀπωπὴν,
ἰλλομένων ὄφρ' οἶκτον ἀλυκτοπέδῃσι πύθοιτο,
καὶ δεσμῶν φίλα τέκνα καταφθιμένων ἀπολύσῃ,
οὔνομα δ' αὖ Σιῶνι περίκλυτον ἐξαναφήνῃ,
ἐν δ' Ἱερουσαλὴμ λιγυρὸν καὶ ἀοίδιμον αἶνον·
ὄφρα κε παντοδαπῶν πολίων ἀπὸ λαὸν ἀγείρῃ·
αὐτὰρ κοιρανίοισιν ἑὸν ζυγὸν αὐχένα θήσει.
νισσόμενος σθεναρῶς μιν ἀμείβετο, καὶ φάτο τοῖα,
εἰπέ μοι ἡμετέρας ὀλίγας βιότοιο κελεύθους,
μηδ' ὥρης προπάροιθε τὰ μὲν βιοτόν μ' ἀπολέσσῃς·
σεῖο μάκαρ γεγάασι διηνεκέες ἐνιαυτοί.
ἀρχόμενος τὸ πρότερον ἀπεστηρίξαο γαῖαν,
καὶ χερῶν τελέθουσι τεῶν μάκαρ οὐρανοὶ ἔργα.
αὐτοὶ ἀποφθίσονται, ἀτὰρ σύ μοι ἄφθιτος εἴης.

εἱλόμενοι πέπλοισι παλαιγενέεσσιν ὄλοιντο·
πάντα δ' ἐναλλάξουσιν, ἑλισσόμενοι ἅτε φᾶρος·
αὐτὸς δ' ἄφθιτός ἐσσι, βίος δέ τοι οὔποτε λήξει·
δρηστήρων σέθεν υἷες ἀεὶ κλισίῃσι παρεῖεν,
καί σφεων οὐ λήξειεν ἐπιθύουσα γενέθλη.

### Ψαλμὸς ρβʹ.

Ὕμνος Δαβίδου δεύτερος ἀμφ' ἑκατόν.

Θυμὲ τεὸν βασιλῆα διαμπερὲς αἴνεε μέλπε·
οὔνομα δ' οἱ μὲν μέλπε ἀκήρατον ἔγκατα πάντα.
θυμὲ τεὸν βασιλῆα διαμπερὲς αἴνεε μέλπε,
μηδὲ θεοπρεπέων ἱερῶν τ' ἐπιλήθεο ἀμοιβῶν.
παντοίης αἰνέε μέλπε κακορραφίης ἐλατῆρα·
αἴνεε παντοίων κρυερῶν ἰητῆρα νούσων,
σεῖο δυσηλεγέος φθιμένου ῥυτῆρα βίοιο,
ὅς ῥ' ἐλεημοσύνῃσι καὶ οἰκτιρμοῖσι πυκάζει·
ἀλήκτοις ἀγαθοῖσι σέθεν καταθύμια ῥέζει.
αὖτις ἀνηβήσειας ἅτ' αἰετὸς ὑψιπετήεις.
κλεινὸς ἄναξ ἐλεητὺν ἀεὶ δεδάηκε τελέσσαι,
ἀθανάτην πάντεσσι δικαιοσύνην ἀναφαίνων.
θεσπεσίας ἀνέφηνε ἑὰς Μωσῆϊ κελεύθους,
υἱάσιν αἰγλήεντος ἀεὶ νόον Ἰσραήλου.
οἰκτίρμων μετὰ πᾶσι πέλει θεὸς ἠδ' ἐλεήμων,
ἡγητὴρ ἐλέου καὶ ἠπιόθυμος ἐτύχθη·
οὐκ αἰεὶ κρυόεντα κότον στέρνοισιν ἐρύξει,
οὐδ' ἡμῖν ἐτέλεσσεν ἐπάξια δυσφροσυνάων,
πικρὸν ἐν ἀμπλακίῃ βαρυπήμονι μισθὸν ὀπάζων·
ἀλλ' ὅσον ἀστερόεις μέγας οὐρανός ἐστ' ἀπὸ γαίης,
τόσσον ἀνηέξησεν ἄναξ ἐλεητὺν ἐελθοῖς.
ὁππόσον ἀντολίαι δύσιος γεγάασιν ἄνευθεν,

τόσσον δυσνομίας μερόπων μεθέηκε φέρεσθαι·
ὡς δὲ πατὴρ παίδεσσιν ἑὸν φρένα μείλιχον ἴσχει,
ὡς δὲ θεὸς θεράποντας ἑοὺς οἰκτείρατο θυμῷ.
ἔγνω γὰρ θεὸς ἔργμα τόπερ τεκτήνατο χερσί·
μνῆσαι παμβασιλεῦ ὅττι τοι κόνις εἰμὲν ἀφαυρή.
ἀνδρομέη χόρτῳ παναλίγκιός ἐστι βιωνή,
ἄνθεσιν ἶσα φέρουσα μινυνθαδίοισιν ἀρούρης·
ἡ ψυχῆς πνοιῆς μελέων ἐξέφθιτο πᾶσα,
οὐδὲ τόπον βλεφάροισιν ἑὸν γνοίη κεν ἰδοῦσα.
σοῦ ἔλεος βασιλῆος ἀεὶ θεμένοισιν ὀπηδεῖ,
καὶ σφετέρων υἱῶν οἷσι μεθ' υἱέας αἴσια ῥέξει,
οἷς περὶ θεσπεσίη φυλακὴ μέλει ἁρμονιάων,
οὐδέ οἱ ἐξελάθοντο διαμπερὲς ἐννεσιάων.
οὐρανῷ ἀστερόεντι μάκαρ τεκτήνατο θῶκον,
καί οἱ ἀνακτορίης κρατέει μέγα κῦδος ἁπάντων.
ἄγγελοι αἰγλήεντες ὁμοῦ κελαδήσατ' ἄνακτα,
ἄλκιμοι οἷσι μέμηλεν ἐφημοσύνη βασιλῆος.
ἀλλὰ καὶ παντοδαπαὶ κελαδήσατε παμβασιλῆα,
οἷς τ' οὖας μεμέλητο ἑῷ ἀθανάτοιο ἀρωγῆς.
ἔργα πολυκλήεντα θεοῦ κελαδήσατ' ἄνακτα,
κοιρανίῃσιν ἃ κάρτος ἀεὶ πετανυσμένον ἴσχει.
θυμὲ τεὸν βασιλῆα διαμπερὲς αἰνετὰ μέλπε.

Ψαλμὸς ργ΄.

Δαβίδου λιγυρὸν τέτατον μέλος ἀμφ' ἑκάστῳ.

Θυμὲ τεὸν βασιλῆα διαμπερὲς αἰνετὰ μέλπε· (θεὸς
ἄφθιτε παμβασιλεῦ μάλα τοι μέγα κῦδος ἀμφ-
δύσαο πάντοθεν αἶνον ὁμοῦ καὶ ἀειπρεπὲς εὖχος,
ἀμφιβαλὼν ἅτε φάρος ἀκηράσιον μέγα φέγγος,
ἐκτανύων ῥινῷ μέγαν οὐρανὸν ἶσον ὁρᾶσθαι,

ὕδασιν ἀχράντοις ὑπερώϊα κλεινὰ καλύπτων,
ἴχνεσιν ἀθανάτοις νέφεα στείγματα τεύχων,
περχομένων ἀνέμων πτερύγων ἐπὶ μακρὰ βιβάσκων,
ἀγγελίην στρατιὴν ἰθύδρομα πνεύματα ῥέζων,
εἰς δὲ βίην φλογεροῖο πυρὸς δρηστῆρας ἀμείβων.
πυθμένα παγχάλκειον ἐπεστηρίξαο γαίῃ,
ὄφρα βίην ἀδόνητον ἀεὶ φορέουσα φυλάσσοι.
φάρεϊ δ' ἀσπιδίῳ ἰκέλην περίθηκας ἄβυσσον·
ὑψικόμων στῆσον δ' ὀρέων ὕπερ ὕδατα πολλά.
ἀλλὰ τράποιτ' ἐπὶ φύζαν ὁμοκλήσαντος ἄνακτος,
καί σευ ὑποδδείσωσιν ὑπερμενέος κτύπον αὐδῆς.
οὔρεα μὲν βαίνει, χθαμαλὴ δέ τις εἴδεται αἶα,
κεῖσ' ὅθι δὴ μετὰ τοῖσι θεμείλια πήξαο χώρων.
πήξαο τέρμα μάκαρ τό περ οὐ παρελεύσεται ὄγμος,
οὐδὲ φίλην ποτὶ γαῖαν ἀποστρέψοισι καλύψαι.
γαίης τρηχαλέης περιΐεις μετὰ ῥήγμασι πηγάς,
ὑψικόμων ὀρέων διελεύσεται ὕδατα μέσσον.
θηρσὶν ὀρεσσικόμοισι διὰ δρυμὰ πῶμα φανείη·
ἔθνος διψαλέων σε μένοι παντοίων ὀνάγρων·
αἰθέρος αὖτ' ἐπὶ τοῖσι παρὰ σῖψι πετεινά·
μεσσόθι πετράων στεναρῶν δώσουσιν ἀϋτήν.
πιαίνων ὑπερώϊόθεν σέθεν οὔρεα ποιμήν,
γαῖα φερεζώων πλησθήσεται ἐκ σέο καρπῶν,
χόρτον τετραπόδεσσιν ἐπαντέλλουσα μείλιχον,
αὐτὰρ δουλοσύνῃ χλοερὴν μεροπηΐδα ποίην,
ἐκ χθονὸς ὄφρα κε καρπὸν ἀγείρωσιν μενοεικέα σῖτον,
καὶ θνητῶν κραδίῃσι πόροι πολυγηθέα οἶνον·
ὄμματα πιαίνων λευκοχρόου αἵματι ἐλαίης,
ἄρτῳ τ' ἀνδρομέην κραδίην ἐρομένουσαν ἐρείδων.
καρποτόκου πεδίοιο κόρος ξύλα μυρί' ὀφέλλοι,

καὶ κέδροις Λιβάνοιο τεῶν μάκαρ ἔργα χερῶν.
κεῖσε νεηγενέων πέλεται στρουθῶν ἀγεωρή.
δῶμα φίλον πτερόεντος ἐρωδιοῦ ἡγεμονεύει.
οὔρεα μακροπόροις ἐλάφοις σκιόεντα μέμηλε·
πέτροις ἠλιβάτοις περιθαρσέες εἰσὶ λαγωοί.
καιρῶν ἔμπορον αὐτὸς ἄναξ τεκτήναο μήνην.
ἠέλιος φαέθων σφετέρας ἐφράσατο δυσμάς.
ὄρφνη ἀμείδητος σημήϊον ἔπλετο νυκτός,
νὺξ δ' ἄρα θηροκόμος· φιλέουσι δὲ θήϊα νύκτα,
καὶ σκύμνοι μεμαῶτες ἀναγκαίην ἐπὶ θήρην,
σφωϊτέρην θαλίην θεόθεν διζήμενοι αἰεί.
ἠελίου ξυνάγερθεν ἐπὶ χθονὶ λαμπομένοιο,
καὶ λέχος ἐστρώσαντο παρὰ ξυλόχοισιν ἑοῖσιν.
αὐτὰρ ἀνὴρ παλίνορσος ἑὸν μετανίσσεται ἔργον,
ἑσπερίην καμάτοιο τέλος ποτιδέγμενος ὥρην.
ὡς σέθεν ἀμφιβόητα μάκαρ μεγαλίζεται ἔργα,
πάνθ' ἅμα θεσπεσίῃ σοφίῃ τεκτήναο ποιμήν.
χθὼν ἱρὴ βέβριθεν ἀμετρήτων σέθεν ἔργων,
κῦτος ἀπειρεσίης τε καὶ εὐρυχόροιο θαλάσσης.
ἃ πόσα τοι βρεμέθοντος ἐγείρεται ἑρπετὰ πόντου,
ζῶά κε θνήσαιο μεμιγμένα μείζονα τυτθοῖς·
ἔνθα πολυκλήϊσιν ὁδὸς νήεσσιν ἐτύχθη·
ἔνθα δράκων ὃν πρὶν τεκτήναο παίγνιον εἶναι.
εἰς δέ σε πάντα βλέπει δόμεναι φίλον εἶδαρ ἑκάστῳ·
πᾶς δ' ἄρα δωτίνην ἀγαθὴν ἐκ σεῖο κομίσσοι.
πάντα λίην γάνυται παλάμας ὅτε σεῖο πετάσσεις,
καὶ κλόνος αἰνὸς ἔχει, ὅτε σὴν στρέψας ὀπωπήν.
θυμὸν ἀπαινυμένοιο σέθεν θνήσκουσι δαμέντες,
καὶ προτέρην φθινύθουσιν ἄφαρ περὶ μητέρα γαῖαν.
εἰ δ' ἄρα καὶ ψυχὴν σφετέρην παλίνορσον ὀπάσσεις,

αὖθις ἀνηβώοισιν, ὅλη δ' αὖ ἀγλάμπεται αἶα.
ἔσται κῦδος ἄνακτος ἀεὶ παναγήρατον ἔσται·
ἔργων ἀγλαΐῃσιν ἑῶν ἐπιτέρψεται ἐσθήν.
χθὼν ὑπὸ μαρμαρυγῇσι τεῆς ἐλελίζετ' ὀπωπῆς·
τυτθὸν ἐφαψαμένοιο σέθεν βρέμει οὔρεα καπνῷ.
αὐτὰρ ἐγὼ βασιλῆα διαμπερὲς ὑμνοπολεύσω.
ἀθάνατον μέλψαιμι πολύλλιτον, εἰσόκεν ἕρπω.
τερπόμενος γλυκερῆς μελεδήματα λέχνυσο μόλπης·
ἀνήκτοις βασιλῆος ἐν εὐφροσύνῃσι χορεύσω.
πάμπαν ἀπολλήξειαν ἀτασθαλίης ὑποφῆται·
ἐκ γαίης δ' ἀθέμιστος ὅλη παύσαιτο γενέθλη.
θυμὲ τὸν βασιλῆα διαμπερὲς αἰνετὰ μέλπε.

## Ψαλμὸς ρδ'.

Τετράδος ἐννηλυΐα βοηθόων στρατιάων
ψαλμὸς ἑκατοστὸς καὶ τέτρατος πλέθει.

ΜΕλψατε λισσόμενοι παναγήρατον οὔνομ' ἄνακτος·
ἔργα θεοῦ δήμοις ἀγγείλατε παντοδαποῖσι·
μέλψατε, καὶ ψαλμοῖς λιγέως φορμίζετ' ἄνακτα,
θεῖα περιφραδέως ἀγορεύσατε θέσκελα ἔργα·
ἡμέτερος πέλει αἶνος ἐπ' ἀθανάτῳ βασιλῆϊ.
ἠτορ ἰαινέσθω διζήμενον αἰὲν ἄνακτα,
δίζεσθε βασιλῆα ὅθεν κράτος ὔμμιν ἐτύχθη.
καί οἱ θεσπεσίην ἰχνεύσατε πάντοτ' ὀπωπήν.
θαυμασίων μνήσασθε ὅσων τεχνήσατο χερσί,
γλώσσης εὐδικίας σφετέρας πεφάτεσσιν ὀπηδοῖς.
δμῶες ἑοὶ γεγάασι φίλον γένος Ἀβραάμου·
παῖδας Ἰακώβου περιλελεγμένον εὕρετο λαόν.
αὐτὸς ἄναξ μετὰ πᾶσι δικαιοσύνην ἀναφαίνει.

νωλεμέως σφετέρων ἐμνήσατο συνθεσιάων·
μῦθον θ' ὃν γενεῇς ἐνετείλατο χιλιάδεσσι,
ὃν μεμαὼς κατένευσεν ἑῷ πάρος Ἀβραάμῳ,
Ἰσαάκῳ θεράποντι φίλῳ μέγαν ὅρκον ὀμόσσας,
ὃν πρὶν Ἰακώβῳ πινυτῷ θέσπιζε τελέσσαι,
συνθεσίην ἀΐδιον ὑπέσχετο δ' Ἰσραήλῳ,
γαῖαν ὅλην δόμεναί οἱ ὑποσχόμενος Χαναά μου,
ὑμετέρου διαμετρήσας σχοινίσματα κλήρου.
τῶν δ' ὀλίγιστος ἀριθμὸς ἔην, ὀλίγοι δ' ἔσαν αὐτοὶ
γαίης ναιετάοντες ἐπ' ἀλλοτρίης μετανάσται·
πολλάκις ἐξ ἑτέροιο μετέστιχον ἔθνεος ἔθνος·
ἐκ δ' ἄρα κοιρανίης λαὸν μετεκίαθεν ἄλλον.
οὔτινα σίντην ἔασεν ἐπὶ σφίσι χεῖρα κορύσσαι·
ἀλλ' ἔτι τῶν δ' ἐδάμασσε χάριν βασιλῆας ἐλέγχων,
ἴσχεσθ' ἀντιθέων, ἐνύ μευ σίνεσθ' ὑποφήτας.
πικρὸν λυμαντῆρα καλέσσατο λιμὸν ἀρούρης·
εὐφόρβου ξυνέαξε βίην φυσίζοον ἀκτῆς.
τῶν δ' ἀγανὸν προὔπεμψε σαόφρονα κηδεμονῆα·
Ἰώσηπός γ' ἄναξ ὑπεδύσατο δούλιον ἦμαρ.
ἃ τότε πῶς μογέεσκεν ἀλυκτοπέδῃσι πεδηθεὶς,
πῶς δὲ πιεζομένην κραδίην δέδμητο σιδήρῳ·
εἰσόκεν ἥπετο κεῖνος ἑῶν τέλος ἐσθλὸν ὀνείρων.
αὐτὸς ἑὸν θεράποντα μακάρτατος ἔφλεγε μύθῳ·
ἐκ δεσμῶν μιν ἔλυσεν ἄναξ Νείλοιο κελεύσας·
ἡγητὴρ λαῶν σφετέρης μεθέηκεν ἀνάγκης,
οἶκον ἐπιτρέψας ὑπὸ νεύματι τοῖο φέρεσθαι·
καί μιν κοιρανίης ἔθετο κλυτὸν ἡγητῆρα.
ὄφρα κεν οἷσι νόμοις προμάχοις Νείλοιο διδάξῃ,
καί σφεων πρεσβυτάτην πινυτὴν τεύξειε γενέθλην.
ἔνθεν ἄρ' Ἰσραῆλος ἐπ' αἰγυπτίην μόλε γαῖαν·

Χαμοῦ δ' Ἰάκωβος ἀγακλέα νάσσατο χώρην.
αὐτὰρ ἄναξ ἕο λαὸν ἀνηέξησεν ἀγητὸν,
καί μιν δυσμενέων ἔθετο κρατερώτατον εἶναι.
οἱ δ' ἄρα λημήναντο πάλιν θεοτερπέα δῆμον,
ἤθεα θεσπεσίοισιν ἐπαλλάξαντες ἐέλδοις.
τοῖς δὲ θεὸς θεράποντα πολύφρονα Μωσέα πέμψας,
ἀντίθεον τ' Ἀαρῶνα ὅς οἱ περιλελεγμένος ἦεν·
οἷσιν ἀριπρεπέως παρακάτθετο σήματα βουλῆς,
καὶ τεράων Χαμιοῖο βίην κατὰ γαῖαν ἀνύσσε.
ἔνθ' ὄρφνην περιέηκεν ὑπὲρ νεφελωΐδα γαῖαν·
οἱ δ' ἐπέων βούλευον ἐναντία πικρὰ θεοῖο.
τοῖσιν ὕδωρ ἔτρεψε δαφοινεὸν αἷμα τελέσσας,
ἰχθύας αὖ κατέπεφνε διαμβαφέος ποταμοῖο.
χθὼν ὑδατοτραφέων βατράχων ἀνέτειλε γενέθλην,
δώμασι θωρήχθησαν ἐρισθενέων βασιλήων.
εἶπε δὲ, καὶ κυνόμυια μετέστιχε δώματ' ἄμακτος,
καὶ σκνίφες διέπερθον ὅλης κλυτὰ δώματα γαίης.
ψυχρὴ ὑπ' ὀμβροτόκων νεφέων κελάρυζε χάλαζα,
καὶ φλὸξ γαῖαν ἔδουσα βοηθόος ἦλθε χαλάζης.
ἡμερίδας μὲν ὄλεσσαν, ἀπεφθίνοντο δὲ συκαῖ,
καί σφεων ἀνθεμόεντα κατέκλασε δένδρεα γαίης.
εἶπε, καὶ ἀμμώωσα μετέσσυτο νήχυτος ἀκρὶς,
καὶ βροῦχος πολύθεστος ἀμετρήτοισιν ῥοαῖς,
οἳ χθονὸς ἐξαλάπαξαν ὅλην πολυανθέα ποίην.
ἆ πῶς πρωτοτόκων ὀλοφύρατο πότμον ἕκαστος,
θάπτων οἰχομένης γενεῆς πρωτάγγιον ἥβην.
χρυσῷ δὲ βρίθοντα καὶ ἀργύρῳ ἐξάγε λαὸν,
οὐδέ τιν' ἠπεδανὸν μεταδήμιον εἶχον ἑταῖρον.
ἆ πῶς νισσομένων ἐχάρη νεφελωΐς ἄρουρα.
πάντες γὰρ βεβόληντο δυσαλθέϊ δείματι θυμῷ.

ἐκπετάσας νεφέλην σκιερὴν ἡγήσατο λαοῦ,
καὶ πυρὶ παννυχίην κέδασεν διανήχυτον ὄρφνην.
ἦλθε μάλ' αἰτίζουσιν ἀπείριτος ὀρτυγομήτρα·
ἄρτου δ' οὐρανίου σφέτερον ἐμπλήσατο θυμόν·
ῥηξάμενος πέτρην, ῥοθίων ἐξήγαγε χεῦμα,
καὶ ποταμοὶ δαπέδοισι βίῃ κελάρυζον ἀνύδροις.
μνήσατο γὰρ κατὰ θυμὸν ὑποσχεσίης ἐρατεινῆς,
ἣν πρὶν ἄναξ κατένευσεν ἑῷ πάρος Ἀβραάμῳ·
τοὔνεκα τιμήεντα γεγηθότα ῥύσατο λαὸν,
εὐφροσύνῃ θεράποντας ἀεξομένους ξυναγείρας.
χώρας δέ σφισι δῶκε πολυσπορέων ἐθνεάων,
καὶ λαῶν ἑτέρων καμάτους διεμοιρήσαντο,
ὄφρα δικαιοσύνης μνησαίατο πάντοτε θείης,
καὶ νόμον ἰχνεύσωσιν ἐπουρανίου βασιλῆος.

Ψαλμὸς ρε'.

Πέμπτος ὅδ' ἀλληλούϊα βοηθέων σκαπάων.

Λαοὶ μειλιχίην ἀναμέλψατε παμβασιλῆος,
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
τίς σθένος ἀστυφέλικτον ἐμεῦ βασιλῆος ἀείσει,
καὶ οἱ παντοδαπῶν μερόπων βάλοι οὔασιν αἶνον.
ὄλβιοι εὐδικίης μεμνημένοι ἄνδρες ἔασιν,
οἷσι δικαιοσύνη καταχθέλος αἰὲν ἐτύχθη.
λαοῦ ἐπ' εὐδικίῃ μιμνήσκεο σῶν ἱκετάων,
καὶ κλεινὸν σέο φέγγος ἐπίσκοπον ἄμμιν ὀπάζοις,
σῇσι διοπτεύσαιμεν ἐνηείῃσιν ἀέξοις,
ἔθνεος εὐφροσύνῃσι τεοῦ κεχαρησόμεθ' ἦτορ,
ἀθανάτου κλήροιο συνήορον αἶνον ἔχοντες.
νωιτέροις τοκέεσσιν ὁμῶς ἀλιτήμονες εἰμὲν,
δυσνομίας ῥέξαντες ἀθεσμοτάτοισιν ἐπ' ἔργοις.

θαυμασίων ἐγένοντο πατέρων ἀδαήμονες αὔτως,
οὐδὲ νόῳ σκέψαντο τεῆς ἐλεητύος ἐσμόν.
πικρὰ νόῳ πνώοντες ἔπι κατὰ πόντον ἐρυθρὸν,
ἀλλ' ἔμπης ἐσάωσεν ἑοῦ βασιλῆος ἀρωγῇ,
κάρτος ἵν' ἀθανάτοιο μέγα γνώωσι καὶ ἄλλοι.
κεκλόμενος πέρσηνεν ἄναξ διὰ πόντον ἐρυθρὸν,
βυσσόθι δ' ἡγεμόνευεν ἐρημαίῃ ἅτε χώρῃ,
καί σφεας ἐξεσάωσεν ὑπ' ἐχθομένων ὀλετήρων,
δυσμενέων δ' ἐξείλετ' ἐλεύθερον ἦμαρ ὀπάσσας.
ἀντιβίους ἐκάλυψε βαθύρροον οἶδμα θαλάσσης,
οὐδέ τις ἐκ δηΐων ναέτης μόλεν ἄγγελος ἄλλοις.
οἱ δέ τεῶς ἐπίθοντο θεοῦ ζωαρκέϊ μύθῳ,
καί οἱ αἰνετὸν ὕμνον ἐπευφήμησαν ἀοιδαῖς.
μύθων δ' ἐξελάθοντο θοῶς σχεθέντες ἄνακτος,
βουλῶν δ' ἀθανάτοιο διεψεύσαντο θεοῖο.
ἵμερον ἱμείροντο κακὸν κατὰ χῶρον ἐρήμου,
ἐν δαπέδῳ βασιλῆος ἐπειρήθησαν ἀνύδρῳ.
ἀλλὰ καὶ ὥς, σφετέροιο πόθον δωρήσατο θυμοῦ,
πλησάμενος θαλίης κραδίας ἧς ἤθελον αὐτοί.
οἱ δὲ κότῳ Μωσῆος ἐνηέα θυμὸν ὄρινον,
ἀντιθέῳ δ' ἐν πᾶσιν ἐριδμαίνεσκον Ἀρῶνι.
Δάθανον κατέπιεν ἀναιδέα γαῖα χανοῦσα,
πᾶσαν δ' ἀμφεκάλυψε κακοῦ κλισίην Ἀβιρῶνος.
σφωϊτέρας κλισίας κατεβόσκετο καιομένη φλὸξ,
καὶ φλὸξ ἀμπλακίῃ μεμελημένον ἔφλεγε λαόν.
ἐν δ' ἄρα Χωρήβῳ κεραήκεα μόσχον ἔτευξαν,
εἰδώλου δ' ἐλίτοντο μάτην παρὰ ποσσὶ πεσόντες·
νήπιοι, οἳ τὸ πάροιθεν ἑὸν κλέος ἠλλάξαντο
μόσχῳ φερβομένῳ ἴκελον μελιηδέα ποίην·
ἀλκῆς δ' ἐξελάθοντο μενεπτολέμοιο βασιλῆος,

ὃς πρὶν ἐν Αἰγύπτῳ τελέσας μεγαλαυχέα ἔργα,
θηητὸς βεβόητο βαρύφρονος ἐν χθονὶ Χαμοῦ,
τεύχων δείματα πᾶσι βροτοῖς κατὰ πόντον ἐρυθρόν.
καί νύ κε πάντας ὄλεσσεν, ἐπεὶ φάτο πάντας ὀλέσσαι,
εἰ μὴ ἀειστοπόνος θεράπων πέλας ὤρνυτο Μωσῆς,
λισσόμενος παλάμην ἵνα μιν παύσειεν ὀλέθρου.
γαῖαν ἀγακλείεσσαν ἐχωβήσαντο κακοῖσιν·
οὐδέποτ' εὐθέσμῳ μάκαρος θάρσησαν ἰωγῇ·
ἀλλὰ καὶ ἐν καλύβῃσιν ἀεὶ τρύζεσκον ἔπεσσιν·
οὔασιν ἠρνήσαντο θεοῦ λαλέοντος ἀκοῦσαι·
τοὔνεκα δεξιτερὴν βασιλεὺς θώρηξεν ἀλείταις,
πάντας ἀμ' ἱέμενος βαλέειν κατὰ χῶρον ἐρήμου,
ἔθνεσι δ' ἀλλοδαποῖσιν ἑὸν διὰ φῦλον ὀλέσσαι,
ἠὲ πολυσπερέεσσι μετὰ πολίεσσι κεδάσσαι.
οἱ δὲ Βεελφεγόροιο μιαινόμενοι τελετῇσι,
νεκρείης ἐπάσαντο καταφθιμένων ἑκατόμβης,
μαχλοσύνης ῥέζοντες ῥωμανίῃσιν ἄνακτα.
τοῖς δ' ὕβρεις θανάτοιο θεοῦ τίκε μητέρα μῆνιν.
Φινεὺς δ' εὐχωλῇσιν ἱλάσσατο παμβασιλῆα·
κεῖνος μὲν λιτάνευε, λιταῖς δ' ὑπεχάζετο λοιμός,
μισθὸν δ' εὐδικίης θεόθεν ἀειδείκετον εὗρεν,
ἐκ γενεῆς γενεῶν διαμπερὲς ἤματα πάντα.
ἀμφήριστον ὕδωρ σὺ δ' ἐπίστασαι ὥς μιν ὄρειναν,
ὡς Μωσῆς ὀδύνῃ κεκακωμένος ἦεν ἀλιτρῶν,
αἰὲν τρυχόμενος κραδίην πικρῇσιν ἀνίαις,
ὃς ἑὰ δ' οὐκ ἐθέλων προτέρην ἐψεύσατο πίστιν.
ἔθνεα γὰρ ῥύσαντο, τά περ σφίσιν εἶπεν ὀλέσσαι.
τοῖς δ' ἐπιμιγνύμενοι, ἀθεμίστια μάνθανον ἔργα·
αὐχένα τ' εἰδώλοισιν ὑπ' ἀψύχοισιν ἔθεντο.
οὐδ' ἄρα τὴν ἀπόνηντο, κακὴ δ' ἐπίεσθεν ἀνάγκη,

δαίμοσι ῥέζοντες σφετέρας κούρας τε καὶ υἷας.
πηγνυμένη στονάχιζεν ἀναιτίῳ αἵματι αἶα,
ὧν τέκον, ὧν θρέψαντ' ὀλοοὶ ἐγένοντο φονῆες,
εἰδώλοις ῥέζοντες ὑπερφιάλου Χαναάμου.
αἵματι δ' ὀλλυμένων ἐρυθραίνετο πάντοθεν αἶα,
μαψιδίως ἔργοισι μιαινομένη στυγεροῖσι.
μαχλοσύνῃ τ' ὀλοῇ μάλα γάρ σφισιν ὧδε μεμήλει.
αὐτὰρ ὃ μήνιε πάμπαν ἄναξ κακοεργέϊ λαῷ,
κλήρου ὀδυσσάμενος σφετέρου ὑπερήφανον ὕβριν.
δυσμενέων παλάμῃσι φίλους θεράποντας ἔδωκε,
κοιρανίην σφετέροισιν ἑὴν δηΐοισιν ὀπάσσας.
ἀπηνείων ὀλοῇσιν ὑπεδμήθησαν ἀνάγκης,
οὐτιδανοὶ παλάμῃσιν ὑπ' ἀλλοτρίῃσι πεσόντες,
πολλάκις ἐξεσάωσεν ὀϊόμενός περ ὀλέσσαι·
οἱ δὲ νόῳ στυγερῷ πλέον ἤκαχον ἢ πρὶν ἄνακτα,
αὐχένα δυσνομίῃσιν ὑποδμηθέντες ἑῇσιν.
ὡς ἴδε πειρομένους, σφετέρου περιφείδετο λαοῦ·
λισσομένους δ' ἠλέησεν, ἑῶν δ' ἐπάκουσε λιτάων.
αὐτίκα γὰρ σφετέρων ἐμνήσατο συνθεσιάων·
νικηθεὶς δ' ἐλέῳ προτέρης ἀπεπαύετο βουλῆς.
θαῦμα μ' ἔχει, πῶς θυμὸν ἑὸν πρηΰνει ἀνάκτωρ,
καί σφεας οἰκτείραντο πάρος ληΐστορες ἄνδρες.
ἡμέας ὦ βασιλεῦ πανυπέρτατε ῥεῖα σαώσοις,
πάντοθεν ἀθροίζων, ἵνα περ κεκεδάσμεθα δήμων·
ὄφρα σευ ἐσσυμένως ἀναμέλψομεν οὔνομα θεῖον,
σῇσι μέγα φρονέοντες ἀειπρεπέεσσιν ἀοιδαῖς.
αἰνετὸς αἰὲν ἄναξ πέλεται κλυτὸς Ἰσραήλου,
ἐκ γενεῆς γενεῆνδε διαμπερὲς ἤματα πάντα·
ζωὴ δ' ἐρέει πᾶς δῆμος, ἐπήτυμον ὧδε γενέσθω.

## Ψαλμὸς ρϛʹ.

Ἕκτος ὅδ᾽ ἀμηλύσια βοηθέων στραπάων.

Λαοὶ μειλιχίην ἀναμέλψατε παμβασιλῆος,
οὕνεκα νωλεμέως σφετέρην ἠεπιὴν ἀέξει.
βαζόντων θεὸς οἷσιν ἐλεύθερον ὤπασεν ἦμαρ,
οὓς ποτε δυσμενέων κρατερῆς ἀπελύσατο χειρός·
ἐκ δὲ πολυσπερέων ξυναγείρατο δεῦρο πολήων,
τοὺς μὲν ἀπ᾽ ἀντολίης, τοὺς δ᾽ ἑσπερίης ἀπὸ γαίης,
ἄλλους δ᾽ ἐκ Βορέαο καὶ ἀτρυγέτοιο θαλάσσης·
πλαζομένους ἀνὰ χῶρον ἀπείριτον αὖον ἐρήμου,
οὐδ᾽ εἶχον σφετέρης πόλιος σκέψασθαι ἀταρπόν.
δίψει δὲ φθινύθεσκον ὁμοῦ καὶ νηλέϊ λιμῷ,
ἐκ δ᾽ ὀλιγηπελίης σφέτερος κατετήκετο θυμός.
αὖ δὲ θεὸν βοάασκον ὀρινόμενοι φρένα μόχθοις·
αὐτὰρ ἀναγκαίης βασιλεὺς σφέας ἔξηγε πάσης·
ἰθεῖην δ᾽ ἀνέφαινε μετὰ τρίβον ἡγεμονεύων,
ὄφρα φίλον πτολίεθρον ὅπερ ποθέεσκον ἵκωνται.
οἰκτιρμοὺς βασιλῆος ἑὴν ἀναμέλψατ᾽ ἐρωὴν,
καί οἱ θέσκελα ἔργα μέλποι μεροπηΐδι φύτλῃ,
οὕνεκα δευομένῃ ψυχῇ πόρε δόρπον ἑτοῖμον,
πειναλέον τ᾽ ἀγαθοῖσιν ἐπεστείξατο θυμόν,
ἑζομένους θανάτοιο ποτὶ κνέφαϊ σκιόεντος,
ἰλλομένους πενίῃ τε σιδηρείοισί τε δεσμοῖς·
οἱ δὲ νόῳ συγερῷ θεοῦ ἤκαχον ἢ πρὶν ἀρωγάς,
μαψιδίως ἐρέθοντες ἑὴν ἐρυκηδέα βουλήν·
ἔνθεν ὑπ᾽ ἀρρήκτου καμάτου δέδμηντο καὶ ἄτης,
οὐδέ τις ἀδρανίης ἐπιτάρροθος ἤλυθεν αὐτοῖς.
αὖ δὲ θεὸν βοάασκον ὀρινόμενοι φρένα μόχθοις,
αὐτὰρ ἀναγκαίης βασιλεὺς σφέας ἔξηγε πάσης.

ἐκ δ᾽

ἐκ δ' ἄγαγε κνέφαος τε καὶ ἐκ θανάτοιο βερέθρων,
ῥηξάμενος μεγέων κρατερὸν καὶ ἀπειρέα δεσμόν.
οἰκτιρμοὶ βασιλῆος ἑὴν ἀναμέλψατε φωνὴν,
καί οἱ θέσκελα ἔργα μέλοι μεροπηΐδι φύτλῃ·
οὕνεκα χαλκείων δύναμιν διέπερσε πυλάων,
εὐτύκτους δ' ἀδάμαντος ἄφαρ ξυνέαξεν ὀχῆας,
πάντας ἀφαρπάξας μογερῆς κακότητος ὁδοῖο·
οὕνεκα δυσσεβίης παρεξεχέα μῶμον ἐφεῦρον,
θυμῷ ἀποτύξαντες ὅλην θρεψήνορα δαῖτα,
ψυχοφόρου θανάτοιο κατήλυθον ἄγχι πυλάων.
αὖδε θεὸν βοάασκον ὀρινόμενοι φρένα μόχθοις,
αὐτὰρ ἀναγκαίης βασιλεὺς σφέας ἔξαγε πάσης.
πειρομένοις ἠκέσατ' ἑὸν σφίσι θυμὸν ἰήνας,
θυμοβόρου δ' ἀπέλυσε καταφθινύθοντας ἀνίης.
οἰκτιρμοὶ βασιλῆος ἑὴν ἀναμέλψατε φωνὴν,
καί οἱ θέσκελα ἔργα μέλοι μεροπηΐδι φύτλῃ·
ῥεζόντων βασιλῆϊ θύος μολπῇσι μεμηλός·
βαζόντων δέ οἱ ἔργα νόῳ κεχαρηότες ἐσθλῷ.
ναυτίλοι οἷσι μέμηλε βίη νῆές τε θαλάσσης,
οἷσι πόνος διὰ κῦμα καὶ ἄσπετον ὄρνυται ὕδωρ,
ὄμμασι θηήσαντο πολύφρονος ἔργα θεοῖο,
καί οἱ θέσκελα πάντα θαλασσοπόροις μετ' ἀβύσσοις.
κεκλομένου βασιλῆος ἀθέσφατος ὦρτο καταΐξ,
θῦνε δὲ κυρτωθέντα μετήορα κύματα πόντου·
φαίης οὐρανὸν εὐρὺν ἄφαρ μίσγεσθαι ἀβύσσῳ.
τῶν δὲ πολυσμαράγῳ κατετήκετο θυμὸς ἀϋτῇ·
πάντας δὲ κλόνος εἷλεν, ὅπως πεπεδημένον οἴνῳ·
ναυτιλίης δ' ἠλάθοντο, σοφὴ δ' οὐ φαίνετο τέχνη.
αὖδε θεὸν βοάασκον ὀρινόμενοι φρένα μόχθοις,
αὐτὰρ ἀναγκαίης βασιλεὺς σφέας ἔξαγε πάσης.

αὐτίκα δ᾽ εἰς αὔρην προτέρην μετέθηκε θύελλαν·
αὖτις δ᾽ εὐσταθέϊ μειλίσσετο κύματα σιγῇ.
εὐφροσύνη δ᾽ ἦγε πάντας, ὅπως ἴδον εὔδιον ὕδωρ,
εἰς λιμένα σπεύδοντας ὑπ᾽ ἐννεσίῃσι θεοῖο.
οἰκτιρμοὶ βασιλῆος ἑὴν ἀναμέλψαιτ᾽ ζωὴν,
καί οἱ θέσκελα ἔργα μένοι μεροπηΐδι φύτλῃ.
εὖ μιν ἀειπρεπέων κλισίῃς ἀναείρατε λαῶν,
καὶ προτερηγενέων ἱροῖς ἀναμέλψατε θώκοις.
χεῦμα μέγ᾽ ἐξανέηκεν ἐϋῤῥήος ποταμοῖο·
ὑδρηλὴ δὲ κέλευθος ἀτερπέϊ τήκετο δίψῃ.
γαίην πουλυβότειραν ἄφαρ πινήσατο χώρην,
καρφομένην κακότητι περικτιόνων ναετήρων·
αὐτὰρ ἐρημαίαν πολυκύμονα θήκατο λίμνην,
καὶ γαίης ποταμηδὸν ἐπέχευεν ὕδατ᾽ ἀνύδρου,
ᾗ ποτε πειναλέοι νάσσαι πολυπήμονες ἦσαν·
καὶ δῆμοι πόλιας κατέχον περιναιέται ἐσθλοί.
ἡμερίδας κατέπηξαν, ἐπεσπείραντο δὲ χώρας,
καὶ βιότου κεχάρηντο τελεσφορίης ἐρατεινῆς.
ἤνεσε μὲν θεὸς ἔργον, ἀνηύξαντο δὲ λαοί,
καί σφισι τετραπόδων ἀγέλαι φέρβοντο νομῇσιν·
ἔνθ᾽ ὀλιγοδρανέοντες ἀμηχανέεσκον ἀνίῃ,
ἄλγεσι τειρόμενοί τε καὶ ἀπρήκτοις ὀδύνῃσι·
αἰνὴ δ᾽ ἡγεμονῆας ἀκυδέας ἀμφ᾽ ἐπελώβη·
οἱ δὲ τρίβον προλιπόντες ἐπ᾽ ἀτρίπτοις ἠλάλυντο·
ἐκ δ᾽ ἀχρημοσύνης ἐπιτάῤῥοθος ἦλθε πενιχρῷ,
στησάμενος φρήτρας ἅτε πώεα καλὰ νομήων.
ἰθύνοοι λεύσσοντες ἐπ᾽ εὐφροσύνῃσι χάρηεν·
ἀμπλακίη δ᾽ ἀείδηλος ἑὸν στόμα δεινὸν ἀνοίξει.
τίς πινυτὸς τάδε πάντα μετὰ φρεσὶν οἶδε φυλάξαι,
ἀθανάτου δ᾽ ἐλεημοσύνην στέρνοισι νοῆσαι.

## Ψαλμὸς ρζ΄.

Δαβίδου ἑκατοστὸς ἔφυ καὶ ἕβδομος ὕμνος.

Θυμὸς ἑτοῖμος ἐμὸς πανεπίσκοπε, θυμὸς ἑτοῖμος·
κύδεϊ ᾧ μέλψω σε καὶ ἐν ψαλμοῖσιν ἀείσω.
ἔγρεό μοι φόρμιγξ καὶ ἐμὸν ψαλτήριον ὕμνων·
ἐμμαπέως ἠῶθεν ἀνεγρόμενον κελαδήσω·
σὸν μένος ἀμφιβόητον ἄναξ λαοῖσι βοήσω,
καὶ δήμοις πολέεσιν λιγυρόκτυπον αἶνον ἀείσω.
οὐρανίων ἐλεητὺν ἔχις καθύπερθε πυλάων,
καί σευ ἀληθείη νεφέων κατέναντα ποτᾶται.
ὄρσ' ὑπὲρ οὐρανίων πυλέων πανυπέρτατε ποιμήν,
καὶ σέθεν ἄσπετον εὖχος ἐπὶ χθόνα πᾶσαν ἱκάνοι,
ὄφρα φίλοις μεμαῶτας ἀφαρπάξειας ἀνάγκης·
δεξιτερῇ με σάω, καὶ ἐμῆς ἐπικέκλυθι φωνῆς,
εἶπεν ἄναξ ἁγίῳ σφετέρῳ συμφράδμονα μῦθον.
ὑψωθεὶς Σίκιμα θεῶς διαδάσομαι ἤδη,
καὶ κοίλην διαμετρήσω πυκινῶν κλισιάων.
ἡμέτερος Γαλαάδος, χ' ἡμέτερος Μανασσῆς,
Ἐφρεμος ἡμετέροιο καρήατος ἄλκαρ ἐτύχθη·
αὐτὰρ εὐκλείης βασιλεὺς ἐμός ἐστιν Ἰούδας,
ἐλπωρῆς δὲ λέβης μευ ἔφυ Μωάβος ἀμύμων.
ἐκτείναιμι πέδιλον ἐμὸν προπάροιθ' Ἰδυμαίης,
ποσσὶν ὑφ' ἡμετέροις ἀλλότρια φῦλα δαμάσθη.
ἤθελον εὐπύργου κλυτὸν ἄστεος ἡγεμονῆα,
ἠὲ καὶ ἰθυντῆρα Ἰδουμαίης μετὰ δήμοις·
ἦρ' οὐκ αὐτὸς ἄναξ ἡγήσεαι ὃ πρὶν ἐάσας,
οὐδὲ κορυσσομένοισιν ἐλεύσεαι ἄμμιν ἀρωγός;
τειρομένοις ἐπίκουρος ἄναξ ἀναφανδὰ φανείης·
ἄμμι δὲ μαψίδιον μερόπων φάος ἐγγυαλίζοι·

ἐν κρατερῷ βασιλῆϊ βίην τελέσωμεν ἑτοίμην,
δυσμενέων ἔκπαγλον ὑπέρβασιν ἀεικίζοι.

### Ψαλμὸς ρη΄.

Δαβίδου λιγυρὸν μέλος ὄγδοον ἀμφ' ἑκατοστῷ.

Αἶνον ἐμὸν μὴ πάγχυ μάκαρ σιγῇ παρεάσῃς·
ἀμφ' ἐμοὶ ὡς δόλιον χαίνει στόμα δεινὸς ἀλείτης·
θηξάμενοι γλῶσσας με κακηγορέεσκον ἀνιγράς,
καὶ μύθοις στυγεροῖσι πεποιθότες ἠρέθοντο,
μαψιδίως τ' ὀλοὴν ἐπὶ φύλοπιν ὡπλίζοντο·
οὓς φιλέειν δοκέεσκον, ἐμοὶ κακὰ μᾶλλον ἔραπτον.
αὐτὰρ ἐγὼ λιτανεύων εἰς οὐρανὸν ὄμμα τιταίνων.
ἀντ' εὐεργεσίης ὀλοὰς δόσαν ἄμμιν ἀνίας,
ἀντὶ δὲ νωϊτέρης φιλίης κακὸν ἔχθος ἕλοντο.
τοῖο καθηγητῆρα πόροις κακοεργέα φῶτα·
διάβολος δ' ἄρα οἱ σταθερὸς ἐν δεξιᾷ μίμνοι·
κρινόμενος ψήφοισι δίκης δεδμημένος ἔλθοι·
εὐχωλὴ δ' ὀλοή οἱ ἀτάσθαλος αἶψα γενέσθω.
ἤματά οἱ γένοιατ' ὀλίγιστά τ' ἀνιηρά τε,
καί οἱ ἱρωσύνην ἐρικυδέα δέξεται ἄλλος.
ὀρφανίῃ σφετέροις ἀλιτήμονας υἷας ῥύξοι,
χηροσύνῃ δ' δάμαρτα κακὴ μεθέπουσα πεδήσοι·
παῖδες πτωχεύσοισι παρ' ἀλλοδαποῖς μετανάσται.
οὔδεος ἐξελάοιντο φίλου ἀέκοντες ἀνάγκῃ.
πάντά οἱ ὅσσα πέλονται ἀνιχνεύσειε δανειστὴς,
καὶ σφετέρων καμάτων ἀλλότριοι ἅρπαγες εἶεν.
μή οἱ δευομένων ἐπιτάρροθος ἄλλοθεν ἔλθοι,
μηδέ οἱ ὀρφανικὴν τις ἐποικτείσαιτο γενέθλην,
ἔσται οἱ φίλα τέκνα κακοῦ μέλπηθρον ὀλέθρου·
οὔνομ' ἄϊστον ἄπυστον ἐπ' ἤματι πάμπαν ὀλέσσει.

αὐτὰ θεοῦ κακίην σφετέρων μνήσαιτο τοκήων,
μηδέ οἱ ἀμπλακίη στυγερῆς παύσοιτο τεκούσης.
λωβητοὶ βασιλῆος ἀεὶ κατέναντα μενόντων,
καί σφεων ἐκ γαίης ἀγαθῆς μνημήϊον ἔῤῥοι.
οὐ γὰρ ἐπεμνήσθη ἐπητύος ἄξια ῥέξαι.
ἀκτέανον καὶ πτωχὸν ἀτάσθαλος ἄνδρα διώκων,
φῶτα λιλαιόμενος βαρυώδυνον ἐξεναρίξαι·
τὴν δὲ λίην ἀγάπαζε, θοῶς δέξαιτο κατάραν·
εὐλογίην ἔστυξε, φύγεν δέ ἑ τῆλε τραπεῖσα.
ἀρὴν οὐλομένην ἰκέλην ἐνεδύσατο πέπλῳ,
οἷα δὲ διψώοντι ἐπήλυθεν ἔγκασιν ὕδωρ,
ὀστέα πιαίνουσα καταχρέος ἠΰτ' ἔλαιον.
αὐτὴ δ' ἀναγκαίου μὲν ἐπὶ χροὸς εἵματος ἴσχοι,
καὶ ζώνης σφετέρης τὴν ζώννυται αἰὲν ἐπ' ἔργῳ.
μισθὸς ὅδ' οἷς βασιλῆϊ κακηγορέειν με μέμηλεν,
οἷς τε μάλα ψυχῇ μου ἀπείριτα κήδεα τεύχειν.
ἀλλὰ σὺ παμβασιλεῦ μοι ἄκος σέθεν εἵνεκα τεύχοις,
οὕνεκα μειλιχίῃσι τεῇ ἐπητυῖ ὀφέλλοις.
ἀκτέανος καὶ πτωχός ἐγώ, σὺ δὲ μή με μεθήῃς,
ἡμέτερος μελέεσσιν ὀρίνεται ἔνδοθι θυμός·
κλινομένῃ σκιῇ ἶσα νόῳ ἀλύεσκον ὀρινθείς,
ἀκρίσιν αἰθερίῃσι πανείκελος ἐξετινάχθην·
ἐδμήθην φίλα γυῖα τρέμων ὑπ' ἀνάλκιδι λιμῷ,
καὶ δέμας αἰγλήεντος ἀμείβετο νόσφιν ἐλαίου.
ἔνθεν ἄλις μετὰ πᾶσιν ἐγὼ μωμητὸς ἐτύχθην·
ὥς μ' ἴδον, ὣς κεφαλὴν δονέον δολόεσσαν ἕκαστος,
ἀλλὰ μάκαρ καλέοντι θεὸς ἐπιτάῤῥοθος ἔλθοις,
καί μοι σὴν ἐπητὺν ἄναξ ἐπίκουρον ὀπάσσοις.
ὄφρα τεῆς παλάμης ἀγαθὴν γνώωσιν ἀρωγήν,
τὴν τεῷ ὁρμαίνεσκες ἄναξ θεράποντι τελέσσαι.

κεῖνοι ἐπαρήσονται, ἀτὰρ σύ μοι ὄλβια δοίης.
αἶσχος ἐπερχομένοισιν ἐμοῖς δηΐοισι χυέσθω·
σεῖο δ' ὑμνητὴς θεράπων φρεσὶ πάντοθι χαίροι.
οἵ με κακηγορέοντες ἀεὶ δύσαιατο μῶμον,
δίπλακι δὲ χλαίνῃ ἴκελον ψῦθος ἀμφιβαλέσθων.
ἀείσω μεγέεσσιν ἀνὰ στόμα παμβασιλῆα,
καὶ πολέων ἀνὰ μέσσον ἐὸν κλέος ὑμνοπολεύσω·
οὕνεκα δεξιτερῆς ἐπιτάρροθος ἦλθε πενιχροῦ,
ὄφρα κε θυμὸν ἐμὸν δηΐων ἀπολύσειεν ἀνδρῶν.

Ψαλμὸς ρθ'.

Δαβίδου λιγυρὸν μέλος εἴνατον ἀμφ' ἑκατοστῷ.

Ἧσο, θεῷ θεὸς εἶπεν, ἐμῶν ἐς δέξια θώκων,
ὥς κεν ὑπὸ θρήνυι δηΐους σέο ποσσὶ δαμάσσω.
ἄφθιτος ἐκ Σιῶνος ἀμύμονα ῥάβδον ἰάλλοι,
ὄφρα τεοῖς ἀνὰ μέσσον ἄναξ δηΐοισιν ἀνάσσῃς.
σῆς ἀρχῆς μετὰ σεῖο πέλει κράτος ὡς πάρος εἶχες,
σῇσι μεθ' ἀγλαΐῃς ὁσίων κλέος ἔμπεδον ἕξεις·
γαστρὸς καρπὸς ἐμῆς πρὸ ἑωσφόρου αὐτὸς ἐτύχθης.
ὤμοσε πιστὸς ἄναξ, σφετέροις δ' οὐ ψεύσεται ὅρκοις·
ἔσσεαι ἀρητὴρ οἷος πέλε Μελχισεδῆκος.
δεξιτερῆς ἄγχαντε ἔχες πέλας ἀσπιδιώτην,
ὅς ῥα κότῳ βασιλῆας ἐπιχθονίους δαμάσαιτο.
φῦλα μάκαρ δικάσει, πλήσει δ' ἀναρήγματα δημῶν,
καὶ πολέων κατὰ γαῖαν ἀπορραίσει κάρηνα.
ὕδωρ χειμάρρου πίεται κλυτὸν οἶμον ὁδεύων,
ἔνθεν ἄναξ ὑμῖν ἀνυψώσει κάρηνον.

Ψαλμὸς ρι'.

Ἄφθιτον ἀγηλεΐα δεκὰς δ' ἔφυ ἀμφ' ἑκατοστῷ.

Ἄληκτῳ κραδίῃ βασιλεῦ τεὸν αἶνον ἀείσω,
ἰθυνόων ὁσίων τε παρὰ κλισίῃσι φαειναῖς.
ἀθανάτου βασιλῆος ἀεὶ περιώσια ἔργα,
βουλῆς παντοδαπῇσι μεμηλότα θεσπεσίῃσιν.
αἶνος ἀεὶ θεοῦ ἔργα πέλει καὶ ἀειπρεπὲς εὖχος·
ἐκ γενεῆς γενεὴν δὲ δικαιοσύνη ἑὸ μίμνει.
θαυμασίων σφετέρων βασιλεὺς ἐμνήσατο θυμῷ.
οἰκτίρμων μετὰ πᾶσι θεὸς πέλει ἠδ' ἐλεήμων.
δαῖτα φίλοις δμώεσσιν ἀγακλείεσσιν ἔδωκε.
νωλεμέως σφετέρων μεμνήσεται ἁρμονιάων·
ἔργων ἰσχυρείην ἀγαθὴν διεπέφραδε λαῷ,
κλῆρον ἀείζηλον μεμαὼς δόμεναι σφίσι δήμων,
εὐδικίην καὶ ἀληθείην ἐργάζεται αἰεί.
ἐννεσίαι βασιλῆος ἀγακλέα πίστιν ἔχουσιν,
ἐκ γενεῆς γενεὴν δὲ διαμπερὲς ἐστήριχθεν,
τυκταὶ ἀληθείῃ τε καὶ ἰθείῃσι μενοιναῖς.
λύτρον ἄναξ νημερτὲς ἑῷ δωρήσατο λαῷ·
πάντοτε συνθεσίην σφετέρην ἐνετείλατο ποιμήν
ἄχραντον φοβερόν τε θεοῦ κλυτὸν οὔνομ' ἐτύχθη·
ἀρχὴ ἐπουρανίου σοφίης πέλε δεῖμα θεοῖο·
καὶ πινυτὴ μερόπεσσι πέλει σοφίης ὑποφήταις.
ἐκ γενεῆς γενεὴν δὲ μένει θεοῦ ἄφθιτος αἶνος.

Ψαλμὸς ρια'.

Πρῶτον ἐφ' ἑνδεκάτῃ δεκάδι μέλος ἀλληλουΐα.

Ὄλβιος ὃς πραπίδεσσι περιδειδόμενος βασιλῆα,
ἀθανάτου γεράρῃσιν ὑπ' ἐννεσίῃσι μεμηλώς·
ἀλκῆεν κατὰ γαῖαν ἑὸν μένει αἷμα γενέθλης,
ὄλβῳ ἰθυνόοισιν ὁμοῦ γενεῇσι τεθηλός.
οὔχ οἱ ἀπολλήξειε δόμοισιν ἄφενός τε καὶ εὖχος,

ἀλλὰ καὶ εὐδικίῃσι διηνεκέεσσι χαρείη.
ἐξ ὄρφνης ἀνέτειλεν ἐπ' ἰθυνόοις μέγα φέγγος.
οἰκτίρμων ὅσιός τε θεὸς πέλει ἠδ' ἐλεήμων.
μείλιχος ὅς ῥ' ἔχρησεν ἀνὴρ ἑτέροις ἑταίρων,
ἐσμὸν ἐπιθύων σφετέρων ἀγανόφρονα μύθων.
οὔποτέ μιν μακροῖο κλόνος βιότοιο κιχείη.
νωλεμέως ὁσίου μνημήϊον αἰνετὸν ἔσται·
οὔπω θ' ὑποδδείσειεν ἀθέσμιον οὔασι φήμην·
αἰὲν ἔχει βασιλῆος ἐπ' ἐλπίδι θυμὸν ἑτοῖμον·
ἠϋκέως ἀδόνητον ἑὴν στήριξε μενοινήν,
εἰσόκε δυσμενέων θηήσεται οἰκτρὸν ὀπωπήν.
ἀκτεάνοις ἐκέδασσε χαριζόμενος βιότοιο·
ἐκ γενεῆς γενεὴν δὲ δικαιοσύνη ἑὸ μίμνει·
τιμῇ καὶ κεράεσσιν ἀειρόμενον κέρας ἕξει.
δερκόμενον τάδε μῆνις ἀτάσθαλον ἄνδρα καλέψει,
τηκεδόνι τρύζοντα κακῇ φθονεροῖσιν ὀδοῦσι·
ἵμερος αὖτ' ἀτέλεστος ἀτασθάλου ἀνδρὸς ὀλεῖται.

## Ψαλμὸς ριβ΄.

Ἑνδεκάτης δεκάδος μετὰ δεύτερον ἀλληλούϊα.

Ἀθάνατον βασιλῆα σοφοὶ ἀναμέλψατε παῖδες,
οὔνομα τιμῆεν κελαδήσατε παμβασιλῆος.
ἔσσεται οὔνομα θεῖον ἀεὶ μεμελημένον ὕμνοις,
καὶ νῦν, καὶ μετέπειτα διηνεκέεσσι γενέθλαις.
ἠελίου φαέθοντος ἀπ' ἀντολίης ἐπὶ δυσμάς,
οὔνομα τιμῆεν κελαδήσατε παμβασιλῆος.
δήμων παντοδαπῶν βασιλεὺς καθυπέρτερα ναίει,
καὶ κλέος οὐρανίων δαπέδων ὑπὲρ ἄφθιτον ἵξει.
τίς κρατερῷ βασιλῆϊ πανείκελος ἄλλος ἐτύχθη·
ναιετάων ὑψηλά, ἀτὰρ χθαμαλώτατα λεύσσων,

γαῖαν τ' ὀφθαλμοῖσι καὶ οὐρανὸν ἀμφιπολεύων,
ἀκτέανον δεδάηκεν ἀπὸ χθονὸς οἷος ἐγείρειν,
ἐκ κόπρου δὲ πενιχρὸν ἐπισταμένως ἀναείρει·
ὄφρα καθηγητῆρσιν ὁμιλῶν μετελεύσεται ἕδρην,
λαοῦ θεσπεσίοιο συνέμπορος ἡγεμονήων·
στείρην ναιετάειν ὃς δώματα δῶκεν ἀγητὰ
μητέρα τιμήεσσαν ἀγαλλομένην ἐπὶ τέκνοις.

## Ψαλμὸς ριγ.

Ἑνδεκάτης δεκάδος σὺν καὶ τρίτον ἀγγελία.

Ἄλκιμος Ἰσραῆλος ὅτ' ἤλυθεν ἠρίνθει,
δῶμα δὲ βαρβαρόφωνον Ἰακώβου λίπε λαός,
νηὸς Ἰουδαίη γεραρὸς γεγένητο θεοῖο,
ἀθάνατος δ' ἤνασσεν ἀγακλέος Ἰσραήλου.
φεῦγε μὲν ἀτρύγετός μιν ὅπως ἐνόησε θάλασσα,
αὐτὰρ Ἰορδάνης ἀνεχάζετο πολλὸν ὀπίσσω·
οὔρεα δὲ κριοῖσιν ἀνεσκίρτησαν ὁμοῖα,
καὶ κορυφαὶ λασίων ὀρέων πέλον ἄρνασιν ἶσαι.
ἔννεπε τίπτε θάλασσα διέτμαγες ὧδε φυγοῦσα,
τίπτε δ' Ἰορδάνη ἀνεχάζεο τόσσον ὀπίσσω,
οὔρεα δὲ κριοῖσιν ἀνεσκιρτήσαθ' ὁμοῖα,
καὶ κορυφαὶ λασίων ὀρέων πέλετ' ἄρνασιν ἶσαι.
ἀθανάτου δεδόνητο θεοῦ κατεναντίον αἶα,
ὅστις Ἰακώβου μεγαλήτορος αἰὲν ἀνάσσει·
ὃς λίμνας ὑδάτων ἰκέλην ἐπετρέψατο πέτρην,
ἀκρότομον πηγῇσιν ἀναβλύζειν ἐπιτείλας.
μὴ ἡμῖν τάδε ῥέζε· οὐ γὰρ σθένος ἄμμιν ἐτύχθη·
ἀλλὰ τεῇ σοφίῃ πανυπέρτατον εὖχος ὀπάζοις,
σῇ τ' ἐλεημοσύνῃ βασιλεῦ καὶ ἀληθεῖ βουλῇ,
μήποτε φῦλ' ἐρέῃ, πῇ δὴ θεὸς ἔπλετο κείνων.

νωΐτερος θεὸς αὖτε καὶ οὐρανὸν αἰὲν αἰάσσει,
οὐρανῷ ἠρήρεισται, ἀτὰρ χθονὸς ἔργα νομεύει,
τεύχων ὁππόσα θυμῷ ἀερσοπόνῳ μενεαίνει.
εἴδωλα χρυσός τε καὶ ἄργυρος ἔπλετο δήμων,
ἀνδρομέων ἀγαπαδνὰ σοφῶν δαιδάλματα χειρῶν·
οἷς οὐ φθόγγος ἔπεστι, καὶ εἰ στόμα τοῖσιν ἐτύχθη·
οὐδὲ φάος φορέουσι περὶ ξεστῇσιν ὀπωπαῖς·
οὔατα μοῦνον ἔχουσι, καὶ οὐκ ἀΐουσιν ἀϋτῆς·
οὐδ' ἰδὲ ῥίνεσσιν ὑπέρχεται ἠέρος ὀδμή·
οὐδενὸς ἀμφαφάωντι, καὶ εἰ χέρεσσι κέκασθεν·
οὐ ποσὶν εὐφόρβοιο κατὰ χθονὸς ἴχνος ἐρεῖσαι·
οὐδ' ἀπὸ λαυκανίης φθογγὴν ἀναπεμπάσασθαι·
οὐδὲ γὰρ ἀσθμαίνουσι κατὰ στόμα πνεύματος ὁρμῇ.
τέκτονες εἰδώλοισι γένοιατο οἷσιν ὁμοῖοι,
καὶ πάντες τοιοῖσι νόῳ περιθαρσέες εἰσίν.
ἐλπωρὴν ἐπ' ἄνακτα θέτο κλυτὸς Ἰσραῆλος,
τῷ δ' ἐπιτάρροθός ἐστι καὶ ἄφθιτος ἀσπιδιώτης.
ἐλπωρὴν ἐπ' ἄνακτα θέτο κλυτὸς οἶκος Ἀρῶνος,
τῷ δ' ἐπιτάρροθός ἐστι καὶ ἄτρομος ἀσπιδιώτης.
ἐλπίδ' ἔθεντ' ἐπ' ἄνακτα, μέγα δ' οἷς δεῖμα θεοῖο,
τῷ δ' ἐπιτάρροθός ἐστι καὶ ἄλκιμος ἀσπιδιώτης.
ἡμέων ἀθάνατος μεμνημένος ᾔνεσε πάντας.
ᾔνεσεν ἀγλαὸν οἶκον ἐνηέος Ἰσραήλου·
ᾔνεσεν ἀρητῆρος ἀκήρατον οἶκον Ἀρῶνος·
ᾔνεσε λαὸν ἅπαντα μεμηλότα παμβασιλῆϊ,
ἡλικίην σύμπασαν ὁμοῦ περὶ μείζονι πληθύϊ·
ἡμετέροις μετὰ παισὶν ἀέξησεν μάλα πάντας.
αἰνετοὶ ἀθανάτου πέλετε φρενὶ παμβασιλῆος,
ὃς γαῖαν χλοερήν τε καὶ οὐρανὸν εὐρὺν ἔτευξεν.
οὐρανὸς αἰγλήεντος ἐπουρανίου ἐστὶ ἄνακτος·

αὐτὰρ γαῖαν ἔδωκεν ἔχειν μεροπηΐδι φύτλῃ.
οὔ σε μάκαρ νεκύων φθιμένων μέλψουσι γενέθλαι,
οὐδ' ἐπὶ νερτερίους θανάτου στείχοντες ἀγυιάς·
ἡμεῖς οἱ ζώοντες ἀνυμνήσωμεν ἄνακτα,
νῦν ἅμα καὶ μετέπειτα διηνεκέεσσι γενέθλαις.

Ψαλμὸς ριδ.

Ἑνδεκάτης δεκάδος μετὰ τέτρατον ἐληλυῖα.

Ἱκεσίης ἀΐοντος ἐμῆς ἀγάπησα θεοῖο,
οὕνεκά μοι θείην ἀγαθήν τ' ἔκλινεν ἀκουήν·
καί ἑ διηνεκέως ἐπιτάρροθον ἐσθλὸν ἀείσω.
ὠδῖνες θανάτοιο λαθιφθόγγου με κατέσχον,
νερτερίου δ' ἀΐδαο μετέστιχον ἄμμε κυδοιμοί.
ῥιγεδανὴν ὀδύνην καὶ ἀπειρέα μόχθον ἐφεῦρον·
ἀθανάτου δ' ἐκάλεσσα πολύλλιτον οὔνομ' ἄνακτος,
ἄφθιτε, θυμὸν ἐμὸν πεφοβημένον αἶψα σαώσεις·
ἡμέτερος βασιλεὺς ὅσιος πέλει ἠδ' ἐλεήμων,
ἀνδρομέῃ γενεῇ σφετέρην ἐλεητὺν ἀέξων·
αἰεὶ νηπιάχοντα θεὸς δεδάηκε φυλάσσειν·
καί με καταδμηθέντα σάω ζωαρκέϊ χειρί.
θυμὲ τί δηθύνεις μετὰ σὴν ἀνάπαυσιν ἱκέσθαι,
οὐχ ὁράας, θεὸς ὥς σε δυσαλθέος ἥρπασεν ἄτης.
καὶ γὰρ ἐμὸν θανάτοιο βαρύφρονα ῥύσατο θυμόν,
ὀφθαλμοὺς δὲ γόοιο, πόδας ἐξεῖλεν ὀλίσθου·
ζωόντων ἀνὰ χῶρον ἀδὼν βασιλῆϊ φανείην.

Ψαλμὸς ριε.

Πέμπτον ἐφ' ἑνδεκάτῃ δεκάδι μέλος ἐληλυῖα.

Ἀτρεκέως ἐλάλησα θεῷ βασιλῆϊ πιθήσας·
αὐτὰρ ἐγὼ θνητῶν γενόμην χθαμαλώτατος ἀνδρῶν·

θαμβήσαις μερόπων ψευδηγόρον ἔπλετο γενέθλων·
τί χρέος ἐκ πολέων ὧν μοι πόρε ποιμένι δοίλω·
πώματος ἀχράντοιο δέπας χείρεσσι κομίσσω,
οὔνομα δ' ἀθανάτοιο διηνεκέως λιτανεύσω.
πότμος ἐῶν ὁσίων γεραρὸς κατένωπα θεοῖο.
κέκλυθι παμβασιλεῦ, θεράπων δέ τοι εὔχομαι εἶναι·
εἰμὶ τεὸς θεράπων, καὶ σῆς γόνος ἀμφιπόλοιο.
νωΐτερας ἔρρηξας ἀλυκτοπέδας ἀλεγεινάς·
ἀθανάτου ῥέξαιμι θύος μολπῆσι μεμηλός·
εὐχωλὰς βασιλῆϊ ὀφειλομένας ἀποτίσω,
αὐλῆς εὐαγέεσσι φίλον κατὰ δῶμα θεοῖο·
παντὸς δερκομένοιο θεουδέος ἄντια λαοῦ,
σεῖο πολυκλύεσσ' Ἱερουσαλὴμ κατὰ μέσσον.

Ψαλμὸς ρις΄.

Ἕκτον ἐφ' ἑνδεκάτῃ δεκάδι μέλος ἀλληλούϊα.

Πάντ' ἅμα παμβασιλῆα πολύθροα μέλψατε φῦλα,
καί μιν ὁμοῦ σύμπαντες ἀέδων κελαδήσατε λαοί·
οὕνεκεν ἄμμιν ἄεξ' ἐλεήμονα μῆτιν ὀφέλλει,
καί οἱ ἀληθείη παναγήραος αἰὲν ἐτύχθη·

Ψαλμὸς ριζ΄.

Ἑνδεκάτης δεκάδος ἀμφ' ἕβδομον ἀλληλούϊα.

Μέλψατέ μοι βασιλῆα, ἐπεὶ τόδε καλὸν ἐτύχθη,
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
βαζέτω Ἰσραῆλος, ἐπεὶ τόδε καλὸν ἐτύχθη,
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
βαζέτω οἶκος Ἀρῶνος, ἐπεὶ τόδε καλὸν ἐτύχθη,
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
δμῶες βάζετ' ἄνακτος, ἐπεὶ τόδε καλὸν ἐτύχθη,

οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει·
πειρόμενος καλέεσκον ἐρισθενέτην βασιλῆα,
ἐκ δ' ἀγαγὼν κακότητος ἐμὰς εὔρυνε κελεύθους.
αἰὲν ἄναξ ἄχραντος ἐμῆς ἐπίκουρος ἀνάγκης·
οὔποθ' ὑποδδείσαιμι ὅ κεν βροτὸς ἄμμι τελέσσῃ.
αἰὲν ἐμῆς ἄχραντος ἄναξ ἐπίκουρος ἀνάγκης·
αὐτὰρ ἐγὼ δηΐων σφετέρων κακὸν ὄψομαι οἶτον.
φέρτερον ἀθανάτῳ πίσυνον βασιλῆϊ βιῶναι,
ἠὲ μάτην βροτῷ ἀνδρὶ νόον περιθάρσυνεν ἴσχειν,
ἠὲ καθηγητῆρσιν ἀμήχανον ἐλπίδα θέσθαι.
ἀμφί με κυκλώσαντο περισταδὸν ἔθνεα πάντα·
αὐτὰρ ἐγὼ σύμπαντας ἕλον βασιλῆϊ πεποιθώς.
ἀμφί με πυργωθέντες ἔχον περιηγέϊ κύκλῳ·
αὐτὰρ ἐγὼ σύμπαντας ἕλον βασιλῆϊ πεποιθώς.
πάντοθεν οἷά με σίμβλον ἐκυκλώσαντο μέλισσαι,
ἔφλεχθεν ἅτε πυρσὸς ἐν αὐλαίῃσιν ἀκάνθαις·
αὐτὰρ ἐγὼ σύμπαντας ἕλον βασιλῆϊ πεποιθώς.
καί κε πέσ' ὠθηθεὶς, πρόμαχος δέ μοι ἤλυθεν ἐοστήν.
αἶνος ἐμὸς καὶ κάρτος ἐπ' ἀθανάτῳ βασιλῆϊ,
καί μοι ἀλεξίκακον κατεφαίνετο φέγγος ἑτοῖμον.
τερπωλῆς φάεός τε βοὴ κλισίῃσι δικαίων.
δεξιτερὴ βασιλῆος ἀγακλέα τεῦξεν ῥωήν·
δεξιτερὴ κεφαλὴν ἐρικυδέα θῆκεν ἐμεῖο·
δεξιτερὴ βασιλῆος ἀγακλέα τεῦξεν ἐρωήν.
οὔποτε τεθναίην, βιότου δέ μοι ἔσσεται ὥρη·
ἀλλὰ περιφραδέως βασιλήϊα ἔργα βοήσω.
ἀθάνατος δάμασέν με φίλοις παιδεύμασι ποιμήν·
ἀλλ' οὔπως θανάτῳ με κακῷ μεθέηκε δαμῆναι.
δεῦτέ μοι εὐδικίης νηῶ οἴξατε πιστὰ θύρετρα,
εἰς δ' ἐλθὼν βασιλῆϊ πολύλλιτον ὕμνον ἀείσω.

ἥδε πύλη βασιλῆος, ὁδὸς δ' ἀγαθοῖσι μένεσθω.
ἄφθιτε κυδαίνω σε, ἐμῆς ὅπι σύνθεο φωνῆς,
καί μοι ἀλεξίκακον περιφαίνεο φέγγος ἐπίμον.
τέκτονες ὃν νείκεσσαν ἐμωμήσαντό τε λᾶαν,
ὃς δ' ἱερῆ δισσῶν κεφαλὴ περιφαίνετο τοίχων·
τὴν δὲ θεὸς παλάμησιν ἐδείματο τιμήεσσαν,
θνητῇ δὲ πέλε βροτέων κατενώπιον ὄσσων.
ἦμαρ τοῦτο θεὸς σφετέρης τεκτήνατο χερσίν,
εὐφροσύνη μερόπεσσιν ὅπως καὶ χάρμα φανείη·
εἰσαίων βασιλεῦ πανυπέρτατε εἶμφα σαώσοις,
εἰσαίων ἴθυνον ἐμὴν καταθύμιον οἶμον·
αἰνετὸς ὃς βασιλῆος ἀφίξεται οὔνομ' ἀείρων·
ὑμέας αἰνέομεν μάκαρος μεγάροιο μολόντες.
κλεινὸς ἄναξ ἀγαθός τε θεὸς μερόπεσσι φαάνθη,
στέμμασι γηθόμενοι χλοερὴν ξυναγείρατ' ἑορτήν,
μέχρι θεοδμήτων κεράων βωμοῖο θυηλῆς.
νωίτερος θεός ἐστι, ἐγὼ δέ τοι αἶνον ἀείσω·
νωίτερος θεός ἐστι, ἐγὼ δέ σε ὕψος ἀείρω.
ἄφθιτε κυδαίνω σε, ἐμῆς ὅπι σύνθεο φωνῆς,
καί μοι ἀλεξίκακον κατεφαίνεο φέγγος ἐπίμον.
μέλψατέ μοι βασιλῆα, ἐπεὶ τόδε καλὸν ἐτύχθη·
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.

## Ψαλμὸς ριη'.

Ἐνδεκάτης δεκάδος ἀμφ' ὄγδοον ἀμηλυΐα.

Ὄλβιοι οἷσι μέμηλεν ἀκήρατος αἰὲν ἀταρπός·
οἷς νόος ἱμείρεσκε θεοῦ κατὰ θεσμὸν ὁδεύειν.
μαρτυρίας σφετέρας φρεσὶν ὄλβιοι ἰχνεύεσκον,
παντοίῃ κραδίῃ διζήμενοι ἐσθλὸν ἄνακτα·
οὐ γὰρ δυσνομίης συγερῆς ὑποφήτορες ἄνδρες

ἴχνεσιν ἀθανάτοιο κατεστείβεσκον ἀταρπούς.
ἔμπεδον ἐννεσίης φυλακὴν ἐπετείλαο λαῷ.
εἴθε μοι εὖ μάλα πᾶσαι ἐπιθύνοντο κέλευθοι,
ὄφρα τοι εὐδικίῃσιν ἀεὶ μεμνημένος εἴην.
καί κε νόῳ προφύγοιμι βαρὺν καὶ ἐλέγχεα μῶμον,
εἴ κεν ὑπ' ἐννεσίῃσι θεουδέσιν ὄμματα πήξω.
ἰθυνόῳ κραδίῃ βασιλεῦ τεὸν αἶνον ἀείσω,
εὖτε δικαιοσύνης θεοτερπέος ἔργα δαείην.
εὐδικίας πραπίδεσσι τεὰς ἄχραντε φυλάξω,
μή με διηνεκέως προλίποις ἀγανώτατε ποιμήν.

ΠΩς νέος ἰθύνειεν ὁδὸν πεποτημένος ἥβῃ,
εἰ μὴ ἐννεσίας μάκαρος πραπίδεσσι φυλάξῃ.
παντοίοις βασιλεῦ σε νοήμασιν ἰχνεύεσκον,
μή με τεῶν ἀπάνευθεν ἀπώσεαι ἐννεσιάων.
σεῖο μάκαρ γλυκεροὺς ἐθέμην ἐν στήθεσι μύθους,
ὄφρα μὴ οὐλομένῃσιν ἀτασθαλίῃσι δαμείην.
αἰνετὸς ἐσσὶ μάκαρ, θεσμοὺς δέ με σεῖο διδάσκοις.
χείλεσιν ἡμετέροις στόματος σέθεν ἔφρασα θεσμούς.
σεῖο τρίβῳ γήθησα μακάρτατε μαρτυριάων,
οἷά τις ἐν στέρνοις ἐπαγάλλεται εὐρέϊ πλούτῳ.
σῇσιν ὑπ' ἐννεσίῃσι περιφραδέως κελαδήσω,
καὶ σέο τιμήεσσαν ἀνιχνεύσαιμι κέλευθον.
σῇσιν ἐπ' εὐδικίῃσι διηνεκέως μελετήσω,
οὐδὲ τεῶν ἱρῶν ἐπέων ἐπιλήσομαι αὔτως.

ΑΝτὶ πόνων θεράποντι μάκαρ σέο μισθὸν ὀπάζοις,
ζήσομαι ἀθανάτων ἐπέων φρεσὶ κέρδος ἀέξων.
ἀχλὺν ἀπ' ὀφθαλμῶν σκέδασον μάκαρ ἣ πρὶν ἐπῆεν,
ὄφρα διοπτεύσαιμι τεὰ κλυτὰ θαύματα θεσμῶν.

ἀλλοδαποῦ βιότοιο μὲν ἐνθαδίην χθόνα ναίω·
μή μευ ἀποκρύψῃς ἀγαθῶν χάριν ἐννεσιάων·
εὐδικίας ἐπόθησα περὶ νόῳ ἤματα πάντα·
οὐρανόθεν θεάπιζες ὑπερφιάλοισιν ὁμοκλῇ.
λωβητοὶ μάλα σεῖο λελασμένοι ἐννεσιάων.
μῶμον ἄναξ ἐλάσεις καὶ ὀνείδεα πολλὸν ἐμεῖο,
οὕνεκα μαρτυρίας γεραρὰς σέθεν ἰχνεύεσκον.
ἀμφ' ἐμέθεν κελάδησαν ἐπεσβόλοι ἡγεμονῆες,
αὐτὰρ ἐγὼν ἀνέμελπον ἐπ' εὐδικίῃσι τεῇσι.
μαρτυρίαι βασιλῆος ἐμεῦ μελεδήματα θυμοῦ,
θεσμοὶ δ' ἐγγεγάασι τεοὶ βουλεύματ' ἐμεῖο.

ΘΥμὸς ἐμὸς δαπέδοισιν ἐλεγχίστοισι πελάσθη·
ἔμπα γε μὴν μύθοισι τεοῖς ἄχραντε βιῴην,
νωΐτερας ἐπάκουσας ἀπαγγέλλοντος ἀταρπούς.
ῥίμφα δικαιοσύνην με μακάρτατε σεῖο διδάσκοις·
εὐδικίης κλυτὸν οἶμον ἐμῷ παρακάτθεο θυμῷ·
σοῖς δ' ἐπὶ θαυμασίοισι περιφραδέως κελαδήσω.
θυμὸς ἐμὸς ἤμυσε κακῇ βεβολημένος ἄτῃ,
ἀλλὰ τεοῖς μύθοισιν ἄναξ ἐμὸν ἦτορ ἐρείδοις.
οἶμον ἄναξ ἀθέμιστον ἐμεῦ ἀπάνευθεν ἐρύκοις,
εὐθέσμοις δὲ τεοῖς θεσπίσμασιν ἄμμι ἐλεαίροις.
οἶμον ἀληθείης καταθύμιον αἰὲν ἐφεῦρον,
οὐδὲ θεοπρεπέων λαθόμην σέθεν εὐδικιάων.
μὴ σέο μαρτυρίοισι πεποιθότα πάμπαν ἐλέγξῃς,
σῆς ὑποθημοσύνης ἀειδείκετον ἔδραμον οἶμον,
εὖτε μάλ' εὐρύνας ἐμοῖς ἐν στήθεσι θυμόν.

ΣΕῖο μάκαρ με δίδασκε τεῶν τρίβον εὐνομιάων,
καί μιν ἀνιχνεύσαιμι διηνεκέεσσι γενέθλαις.

δός μοι

δός μοι ἄναξ πινυτήν, ἵνα σεῦ νόμον ἐξερεείνω,
καί μιν ἀεὶ στέρνοισιν ἐφ' ἡμετέροισι φυλάξω.
εἰ δέ μοι ἡγεμόνευσας ἐπ' εὐνομίῃσι τεῇσι,
πᾶσαν ἐμῆς πραπίδεσσι λιλαίομαι ἀμφιβαλέσθαι.
μαρτυρίης ἐμὸν ἦτορ ἐπικλίνοιτο τεῇσι,
μηδ' ἀκόρητον ἔχοιμι φιλοκτεανώτατον ὕβριν.
ὀφθαλμῶν ἀπέλασσον ἐμῶν κενεαυχέα λώβην·
σεῖο μάκαρ ζήσαιμι φερεζώοισι κελεύθοις.
σῷ θεράποντι λόγον βεβελθότα δείματι τεύξοις.
οὐ πρὶν ὑποπτεύεσκον ὀνείδεος ἄμμι βαρώσοις,
σεῦ ὅτι μειλιχίῃσι δίκης κεκερασμέναι εἰσί,
θυμῷ ἐπισπέρχω σέθεν ἵμερον ἐννεσιάων·
σεῖο δικαιοσύνην βιότου συνέελθον ἐχοίμην.

Θεσπεσίη μ' ἐλεητὺς ἄναξ σέθεν ἀμφικαλύπτοι·
σῇσιν ἀλεξικάκοισι φάος μύθοισιν ἐπέσθω.
ὄφρα κεν ὑβριστῆρας ἀμείψομαι ἣ θέμις ἐστίν,
οὕνεκεν ἠπορίην ἐθέμην μύθοισι τεοῖσι.
μή μευ ἀληθείην στόματος σέο πάμπαν ἐρύξῃς.
σεῖο γὰρ εὐθέσμοιο δικαιοσύνης πόθον ἴσχω.
καὶ νόμον αἰγλήεντα τεὸν πραπίδεσσι φυλάξω,
ἐκ γενεῆς γενεήνδε διαμπερὲς ἤματα πάντα.
ἔνθεν ἄρ' εὐρείῃσιν ἀεὶ περιθέεσκον ἀταρπεῖς,
οὕνεκεν ἐννεσίην βασιλήϊον ἰχνεύεσκον·
οὐδέ τι ἀζόμενος λάλεον σέο μαρτυρίῃσι.
πῶς δὲ μάλα θαύμαζον ἐμὴν τότε γλῶσσαν ἄνακτες
οἷς ἀγάπαζες ἀδὴν μελεδήμασι θυμὸν ἔφερβον·
καὶ σέθεν ἐννεσίης τάνυον παλάμας ἐρατεινῆς,
σῇσιν ὑπ' εὐνομίῃσι λιλαιόμενος φρένα βόσκον.

ΜΝώεο σεῦ θεράποντος ἐπελπομένου σέο μύθοις·
ἥδε μευ ἀδρανίης παραμύθιον ἐσθλὸν ἐτύχθη,
οὕνεκ᾽ ἀεὶ σέο μῦθος ἐμοὶ βίος ἔπλετο καλός.
αἰὲν ὑπερφίαλοι ἀθεμίστια τεκταίνοντο·
αὐτὰρ ἐμὸς θεσμοῖσι τεοῖς νόος αἰὲν ἀρήρει.
ἀμπνεύθην σέο θυμὸν ἄναξ θεσμοῖσι πετάσσας.
ἦτορ ὑπ᾽ ἀδρανίης βεβολημένος ἐπτοίημαι,
θεσμῶν εἰσορόων ἀγαθῶν σέο λυμαντῆρας.
θεσμῶν ὑμνοπόλευσα φίλων σέο πολλάκι μολπὴν,
καί περ ἐν ὀθνείοισιν ἐὼν δαπέδοις μετανάστης·
ὀρφναίην ἀνὰ νύκτα παρεμνήσθην βασιλῆος,
ἀθάνατον δ᾽ ἐφύλαξα φίλοις ἐν στήθεσι θεσμόν·
σεῖο τόδ᾽ εὐδικίης ἀγαθῆς ἀντάξιον ἴσχω.

ΑΙσά μοι αὐτὸς ἔφυς, θεσμοὺς δέ σοι εἶπα φυλάξαι.
ἀπλήκτῳ κραδίῃ λιτόμην βασιλῆος ὀπωπῆς,
ἵλαθί μοι βασιλεῦ, ἐπέων δέ σευ ἄξια ῥέξω.
καὶ γὰρ ἐπεφρασάμην καταθύμια σεῖο κελεύθοις·
μαρτυρίης δ᾽ ἔστρεψα τεῆς σέθεν ἀγχόθι πέζας·
ἔνθεν ἑτοιμότατος γενόμην ἀδόνητος ἐών τις,
σῆς ὑποθημοσύνῃσιν ἔχειν μεμνημένον ἦτορ.
ἰλλόμενος δολερῇσι δέμας σειρῇσιν ἀλιτρῶν,
οὐ σέθεν ἐνθέσμων λαθόμην φρεσὶν ἐννεσιάων.
αὐτὰρ ἐγὼ διὰ νύκτα μέσην ἔσπευδον ἀναστὰς
ὑμνῆσαι πραπίδεσσι δικαιοσύνης σέο θεσμούς.
πάντων σεῖο μάκαρ δμώων γε συνήορος ἦα,
ὅσσοις ἐννεσίαι πεφυλαγμέναι εἰσὶ θεοῖο.
χθὼν ἐλεημοσύνης ἀγαθῆς βέβριθεν ἄνακτος.
σεῖο δικαιοσύνας ἐρικυδέας ἄμμε διδάσκοις.

Μειλιχίην θεράποντι τεῷ δωρήσαο μῦθον·
μειλιχίην τε φίλην τε τεὴν μάκαρ ἄμμε διδάσ-
οὕνεκεν ἐννεσίῃσι μάκαρ θάρσησα τεῇσι. (κοις,
πρὶν με καταδμηθῆναι, ἀτασθαλίην ἐτέλεσσα·
τοὔνεκα σοὺς ἐφύλαξα φίλοις ἐν στήθεσι μύθους.
μείλιχός ἐσσι μάκαρ, σέο δ᾽ εὐδικίας με διδάσκοις.
ὕβρεις ὑπερφιάλων μοι ἀθέσφατος ἐξεπανύσθη·
αὐτὰρ ἀνιχνεύσαιμι στῆθεν μηδήματα θυμῷ.
στῆθος ἐὸν λευκῷ ἴκελον ἐπέπηκτο γάλακτι·
αὐτὰρ ἐμοὶ σέο θεσμὸς ἀεὶ πραπίδεσσι μεμήλει.
ὡς ἀγαθὸν χθαμαλόν τε καὶ ἠπεδανόν με τετύχθαι,
ὄφρα δικαιοσύνην ἐρικυδέα σεῖο δαείην.
ὡς ἀγαθὸς στόματος βασιληΐου ἔπλετο θεσμὸς,
χιλιάδων χρυσοῦ τε καὶ ἀργύρου ἄμμιν ἀμείνων.

Σῇσι μάκαρ γνώμην τε καὶ ἐπλάσθην παλάμῃσι·
δός δή μοι πινυτὴν, βουλὰς ἵνα σεῖο δαείην.
δμῶες δερκόμενοί με τεοὶ κεχαροίατο θυμῷ·
οὕνεκα σοῖς ἐπέεσσιν ἐμὰς συνέδησα μερίμνας.
ἀμφαδίην ἐνόησα δικαιοσύνης σέο θεσμοὺς,
καί σευ ἀληθείῃ χθαμαλός τε καὶ ἄκικυς ἐτύχθην.
σὴν δ᾽ ἐλεημοσύνην παραμύθιον ἄμμιν ὀπάσσοις,
καὶ μῦθον συμφραδμονα σῷ θεράποντι παράσχοις.
εὖ με κατοικτείρειας, ὅπως ζήσαιμι πεποιθὼς,
οὕνεκά μοι μελέτη βασιλήϊος ἔπλετο θεσμός.
αἶσχος ὑπερφιάλοις, οἵ μοι παρὰ θεσμὸν ἔρεξαν·
αὐτὰρ ἐγὼ περὶ σῇσιν ἐφημοσύνῃς κελαδήσω.
δμῶες ἐπιστρέψωσι τεὴν ἐρομέοντες βουλὴν,
μαρτυρίας δεδαῶτες ἀεισοπίνου βασιλῆος.
σῇσιν ἐφημοσύνῃς μὲν ἀμώμητοι φρένες εἶεν,

ὄφρα κακῶν ἀπάνευθε καὶ αἴσχεος ἔκτοθεν εἴην.

Θεσπέσιον περὶ φέγγος ἐμὸς νόος ἐξετανύσθη,
Συνθεσίης τ' ἀγαθῆς ποθέων σέο μῦθον ἀκοῦσαι.
ἀμφὶ τεῷ μύθῳ ἔμεθεν φθινύθεσκον ὀπωπαί,
βάζουσαι, πότε δή μοι ἰὼν παραμύθιον εἴης.
ἀσκὸς ὅπως γενόμην χιονώδεος ἐγγύθι πάχνης·
ἀλλὰ δικαιοσύνης λαθόμην σέθεν οὔποτε θυμῷ.
εἰπὲ, τεοῦ θεράποντος ὅσος χρόνος ἐστὶ βίοιο,
εἴ ποτέ μοι τίσασθαι ἐπάξιον ὕβριν ἀλεῖται.
ἀνέρες ὑβρισταὶ ἀεσιφροσύνας ἀνέμυθον,
ἀλλ' οὐ σὸν κατὰ θεσμὸν ἔχον ψευδήγορον οἴμην.
ἄφθιτοι ἐννεσίαι καὶ πανδηθέες εἰσὶν ἄνακτος·
οἱ δ' ἀδίκως μ' ἐδίωκον, ἀλλ' ἄναξ δ' ἐπιτάρροθος εἴης,
καί κε με πανσυδίῃ πέλασαν δαμάσαντες ἀρούρῃ·
αὐτὰρ ἐγὼ σέο μίμνον ἐφημοσύνῃσι πεποιθώς.
ἄφθιτε σῇ βασιλεῦ ζήσεν τοι καλὰ βιῴην,
καὶ σέο μαρτυρίας στόματος στέρνοισι φυλάξω.

Ἐκ γενεῆς γενεὴν δὲ νέμεις πανδηθέα βουλήν·
οὐρανῷ ἀστερόεντι μένει σέο πάντοτε μῦθος.
γαῖα μάκαρ παλάμῃσι μένει σέο ῥιζωθεῖσα·
ἠὼς δ' ἠελιγένεια φέρει σέο φέγγος ἀνωγῇ.
σοὶ γὰρ ὑποδρήσσουσι τά περ τεκτήναο χερσίν.
εἰ μή μοι σέο θεσμὸς ἔην μελέδημα μερίμνης,
καί κεν ἀπεφθινόμην κρυερῷ καὶ ἀπευθέι πότμῳ.
οὔποτε θεσπεσίων ἐπιλήσομαι εὐνομιάων·
ἔνθεν ἐπεὶ βιότοιο τέλος κεχαρισμένον εὗρον.
εἰμὶ τεὸς θεράπων, σὺ δέ μοι κακὸν οἶτον ἀλάλκοις·
οὕνεκεν ἐννεσίῃσιν ἀεὶ θάρσησα τεῇσι.

μαψιδίως ὑπέμειναν ἀτασθάλλοντες ὀλέσσαι,
αὐτὰρ ἐγὼ ξυνέηκα χάριν σέο μαρτυριάων.
παντοίοις ἐνόησα τέλος πραπίδεσσι βίοιο·
σὴν ὑποθημοσύνην βασιλεῦ εὐρεῖαν ἀνέγνων.

Ὣς μάλα θεσμὸν ἐγὼ βασιλήϊον ἀμφαγάπαζον,
καί μιν ἑλὼν στέρνοισι πανημαδὸν ὑμνοπολεύσω.
ἐννεσίην δηΐων με τεὴν πλέον ἐξεδίδαξας,
καὶ γὰρ ἐμὸν κτέρας ἐστὶ, διηνεκέως δέ με θάλπει.
εἴξατέ μοι προτέρης σοφίης κοσμήτορες ἄνδρες,
ἐννεσίας ἄνακτος ἔχω μελεδήματα θυμοῦ.
πρεσβυτέρων πινυτῆς πολὺ μείζονα μῆτιν ἐφεῦρον,
μαρτυρίας κατὰ θυμὸν ἀνιχνεύων βασιλῆος.
παντοίης ἀπέεργον ὁδοῦ κακοεργέος ἴχνος,
ὄφρα φίλον σέο μῦθον ἐμαῖς πραπίδεσσι φυλάξω.
εὐδικίην φρούρησα τεὴν ἀκλινεῖ βουλῇ,
σῆς ὑποθημοσύνης πεφοβημένος αἰὲν ἀνώγην.
σὸν περὶ λευκανίην ἐπέων νόμον ἡδὺν ἐφεῦρον,
λαρότερον γλυκερῆς μελικηρίδος ἄμμιν ἐόντα.
πάντα μάλα ξυνέηκα τεῶν χάριν ἐννεσιάων,
ἔνθεν πᾶσαν ἄθεσμον ἀπεχθαίρεσκον ἀταρπόν.

Λύχνος ἐμοῖς σέο θεσμὸς ἄναξ ποσὶν αἰὲν ἐτύχθη,
ἄφθιτον ἡμετέροις καὶ ἀγήραον ἴχνεσι φέγγος.
ὤμοσα σῆς ἄχραντε δίκης θέσπισμα φυλάξαι.
ἠπεδανὸς γενόμην, ἐπέεσσι δὲ σοῖσι βιώην.
γλώσσης ἡμετέρης καταθύμια καὶ σὺ κελεύοις,
καί με δικαιοσύνην ἐελκυδέα σεῖο διδάσκοις·
ἦτορ ἐμὸν παλάμῃσι διηνεκέως σέθεν ἴσχω,
οὐδὲ σέθεν θεσμοῖο φερεζώοιο λαθοίμην.

ἄμμιν ἐπεκτήναντο λίνον κακομήχανοι ἄνδρες,
οὐδὲ τεῆς ἀπάνευθεν ἐφημοσύνης ἀλήμην.
μαρτυρίας βασιλῆος ἔχον ζωαρκέα κλῆρον,
οὕνεκα τερπωλὴ κραδίης γεγάασιν ἐμεῖο.
σαῖς μάκαρ εὐδικίαις κραδίην ποθέεσκον ἀνύσσαι,
ὥς κεν ἀμειβαίοις ἀγαθοῖς ἐμὸν ἦτορ ἰαίνοις.

Θεσμοὺς σοὺς φιλέεσκον, ἀτὰρ στυγέεσκον ἀθέσμους,
ἄλκαρ ἐμὸν τελέθεις καὶ ἐμῆς ἐπιτάρροθος ἀλκῆς.
ἐλπίδα κυδιάνειραν ἔχεν σέο πάντοτε μύθοις.
εἴξατέ μοι στυγεροὶ ὑποφήτορες ἀμπλακιάων,
ὥς κεν ἀνιχνεύσαιμι θεοῦ βασιλῆος ἐφετμάς.
ἀμφὶ τεοῖς ἐπέεσσιν ἀρηγόνα χεῖρα τιταίνοις,
μηδὲ καταισχύνῃς με τεὴν δεδοκημένον ἀλκήν.
πειρομένῳ μοι ἄρηγε μακάρτατε, καί με σαώσοις·
σεῖο δ' ἐπ' εὐδικίῃσι διηνεκέως μελετήσω.
εὐδικίην ἀθέλξας ἀπεχθαίροντας ἀλείτας,
οὕνεκα δυσσεβέων ἐνθύμιόν ἐστιν ἀλιτρόν.
ὠϊσάμην σύμπαντας ἀλιτραίνοντας ἀθέσμους.
τοὔνεκεν ἀμφαγάπησα χάειν σέο μαρτυριάων.
δείματι σῷ περίπηξον ἐμὸν δέμας οἷά περ ἥλοις·
σῶν γὰρ ὑποτρομέω σθεναρὸν κλέος εὐνομιάων.

Εὐνομίην ἐτέλεσσα, δικαιοσύνην τ' ἐρατεινήν,
μή με βιαζομένοισιν ἕλωρ καὶ κύρμα μεθήκῃς.
εἰς ἀγαθὸν θεράποντα τεὸν πανυπέρτατε μίμνοις,
μηδέ με νικήσωσι δίκῃ ψευδηγόροι ἄνδρες.
ὄμματά μευ ποθέεσκον ἀλεξίκακον σέο φέγγος,
καὶ σέο σωθεσίης ἀγανόν καὶ ἀγακλέα μῦθον.
σῷ θεράποντι μάκαρ ἐλεητύος ἄξια ῥέζοις,
καί με δικαιοσύνην ἐρικυδέα σεῖο διδάσκοις.

εἰμὶ τεὸς θεράπων, σοφίην δέ μοι ἐγγυαλίζοις,
καί σου ἀναγνοίην μελεδήματα μαρτυριάων.
ὥρη παμβασιλῆϊ πολύλλιτον ἔργον ἀνύσσαι·
σεῖο κακορρέκται κέδασσαν ζωαρκέα θεσμόν·
τοὔνεκα σὸν ἐπόθησα μέγα κλέος ἐννεσιάων,
χρυσοῦ ἀειπρεπέος τοῦ τοπαζίου πολὺ μᾶλλον.
ἐννεσίης ἴθυνα τεῆς νόον ἔνθεν ὀπηδόν,
παντοδαπὴν ἤχθηρα βίην ἀδίκοις τε κελεύθοις.

Μαρτυρίαι βασιλῆος ἀεὶ περιθαμβέες εἰσί,
τοὔνεκ' ἀνιχνεύεσκον ἐμῆς πραπίδεσσιν ἁπάσας.
σῶν ἐπέων χάρις ἄμμι βίην καὶ φέγγος ὀπάσσοι,
αἰεὶ νηπιάχων σοφίην πραπίδεσσι τίθησα.
πνεῦμα χανὼν ὕψιστον ὑπὸ στέρνοισιν ἐδέγμην,
οὕνεκα σῶν ποθέεσκον ἀεὶ κλέος ἐννεσιάων.
ἄμμι τεὴν τανύσειας ἄναξ ἐλεήμον' ὀπωπήν,
ὡς θέμις ἐκτελέειν ἀγαπαζομένοισιν ἐέλδοις.
σοῖς μευ ἐπιθύνειας ἐπίδρομα βήματα μύθοις,
μηδέ μ' ἐεγχήεσσα κακορραφίη με πεδήσῃ.
ἐκ ψευδηγορίης μερόπων ὀλοῆς με σαώσοις,
καὶ σέθεν ἐννεσίας ἀγαθὰς στέρνοισι φυλάξω.
δευομένῳ θεράποντι τεὴν ἀνάφηνον ὀπωπήν·
καί με δικαιοσύνην ἐρικυδέα σεῖο διδάσκοις.
δακρυόεντα κέλευθα φίλης παρέχεσκον ὀπωπῆς
οὕνεκα θεσπεσίων ὑπερέδραμον ἤθεα θεσμῶν.

Ἦ ῥ' ὅσιος βασιλεὺς σύ, καὶ εὐθέα πάντα δικάζεις.
σεῖο δικαιοσύνην ἐπετείλαο μαρτυρίῃσι.
καὶ σθένος ἀστυφέλικτον ἀληθείης ἐρατεινῆς.
σεῖο θεοπρεπέων ἄχρι κατατήκομαι οἴκων·
οὕνεκα σῶν ἐλάθοντο κακόφρονες ἐννεσιάων.

σεῖο πυρὶ φλεγέθοντι πανείκελος ἔπλετο μῦθος·
ἀλλά μιν ὡς θεράπων κραδίῃ πρὸς ἀμφαγαπάζοι.
ἡβητὴρ τελέθω, καὶ ἐλεγχὴς ὡς ἐτύχθη,
ἀλλ' αἰεὶ πραπίδεσσι δικαιοσύνας σέο μέλπω.
σεῖο δικαιοσύνη παναγήραος ἤματα πάντα,
καί σευ ἀληθείη πινυτοῖς θεσμοῖσιν ὀπηδεῖ.
μόχθος με στυγερὸς καὶ ἀμήχανοι ἔσχον ἀνάγκαι,
ἀλλ' οὐδ' ὡς λαθόμην μελεδήματα σεῖο λιγαίνειν.
μαρτυρίας ὁσίων φορέεις εὐκύμονας ἔργων,
δός μοι ἄναξ πινυτὴν, βίοτος δέ μοι ἄρκιος εἴη.

Ἐκ θυμοῦ βοάασκον ἀκήρατε, καί με σαώσεις,
καὶ σέο μαρτυρίας ἀγαθὰς στέρνοισι φυλάξω.
προφθάμενος βοάασκον, ἀκήρατε νυκτὸς ἀμολγῷ,
ἐλπωρὴν βασιλῆος ἐμὴν ἐπέεσσι πετάσσας.
ὄμματά μευ προὔκυψε θοῶς μετὰ καιρὸν ἕωθεν·
ὄφρα τεῶν ἐπέων μελεδήματα καλὰ βοήσω.
φωνῆς ἡμετέρης ἐλεήμονι κέκλυθι θυμῷ,
σῇσιν ἐμὴν ἴθυνον ὑπ' εὐδικίῃσιν ἀταρπόν.
δυσνομίην ἐλατῆρες ἐμοὶ συνέελθον ἔχισκον·
σεῖο δὲ τιμήεντα φύγον καὶ ἀγακλέα θεσμόν.
ἐγγὺς ἄναξ, καί σευ παναληθέες εἰσὶν ἀταρποί.
ἐξ εὐηγεσίης ἐδάην σέο μαρτυριάων,
νωλεμέως ὅτι πιστὰ θεμείλια πήξαο πᾶσιν.

Ἀδρανίην μευ ἄναξ ἐπιδέρκεο, καί με σαώσεις·
θεσμὸν ἐπεὶ πραπίδεσσι τεὸν μεμνημένος ἴσχω.
ῥυσάμενος βασιλεῦ με, δίκην δικάσσαις ἐμεῖο,
ἡμετέρου βιότοιο τεὸς λόγος αἴτιος ἔστω.
δυσσεβέων ἀπάνευθεν ἀλεξίκακον σέο φέγγος·

σεῖο γὰρ ἐξελάθοντο δικαιοσύνας ῥεεινῶν.
οἰκτιρμοὶ βασιλῆος ἀπειρέσιοι γεγάασιν·
σῇσιν ἐμὴν ἴθυνον ὑπ' εὐδικίῃσιν ἀταρπόν.
μυρίοι ἐξελάοντες ἐπιβρείθουσί με μόχθοις,
ἀλλ' οὐδ' ὣς ἀπάνευθε τράπην σέο μαρτυριάων.
ἀφροσύνης θεράποντας ἰδὼν, κατατήκομαι ἦτορ,
οἷσι νόος σέο μῦθον ἄναξ ἠρνεῖτο φυλάσσειν.
φράζευ ὅπως περὶ σῇσιν ἐφημοσύνῃς μεμβλήμαι,
ἠπορίην βιότοιο τεὴν ἐλεητὺν ἑλοίμην.
σῶν μὲν ἀληθείην προσέησαο μητέρα μύθων,
τοῖσι δ' ἐπ' εὐδικίας ἐπετείλαο πάντοτε θεσμόν.

ΜΑψιδίως μ' ἐδίωκον ἀναιδέες ἡγεμονῆες·
μοῦνα δὲ σῶν τρομέεσκον ἐμῇ φρενὶ δείματα μυθῶν.
ἀμφὶ τεοῖς ἐπέεσσι φίλον κεχαρήσομαι ἦτορ,
ὥς τις ἀπαγνύμενος δηΐων ἀπὸ ληΐδα πολλήν.
δυσνομίην ἔστυξα, τεὸν νόμον ἀμφαγαπάζων.
ἑπτάκις ἠμάτιός τοι ἄναξ τεὸν ᾔνεσα κῦδος,
ἔργα δικαιοσύνης μεγαλαυχέα σεῖο λιγαίνων.
εἰρήνη βασιλῆος ὑποδρηστῆρας ἐρύκοι,
οὐδέ τι νεῖκος ἔχουσι μετὰ σφίσιν ὁρμηθέντες.
σὸν φάος ὠϊσάμην, σέο δ' ἐννεσίας ἐπόθησα·
μαρτυρίας ἐφύλαξα τεάς, ἠγάπησά τε θυμῷ·
ἐννεσίας ἐφύλαξα καὶ ἁρμονίας ἐρατεινάς·
ἔγνως νωϊτέρων κατεναντία τέρμα κελεύθων.

ΙΚεσίη βασιλῆος ἐμὴ προπάροιθεν ἱκέσθω,
μύθων σῶν πινυτὴν αὐτάξιον ἄμμιν ἰάλλοις.
σεῦ μάκαρ ἡμετέρων χάρις ἵξεται αὖτα λιτάων,
ἀλκτήρ μοι κακότητος ἀεὶ σέο μῦθος ἐπέστω·

χείλεσιν εὐκελάδοισι μέλος φιλόμολπον ἀείσω,
εὖτε δικαιοσύνην με ἐελκυδέα σεῖο διδάξῃς·
γλῶσσα τεὸν φθέγξαιτο φίλον ζωαρκέα μῦθον,
ἐννεσίης ὅτι σῇσι δικαιοσύνην ἐκέρασσας·
δεξιτερὴν τανύσειας ἄναξ σέο, καί με σαώσοις·
οὕνεκα σῶν πραπίδεσσι λιλαίομαι ἐννεσιάων.
ἐκ θυμοῦ ποθέεσκον ἀλεξίκακον σέο φέγγος,
γλώσσῃ θεσμοσύνην βασιλήιον ὑμνοπολεύσω.
ζώοι θυμὸς ἐμεῖο, καί σευ κλυτὸν αἶνον ἀείσοι·
καὶ σέθεν εὐδικίῃσιν ἀεὶ μεμνημένος εἴην.
εἰροπόκου προβάτου καὶ ὀλωλότος ἶσον ἀλήθην·
μνήμονα σὸν θεράποντα τεῆς ἴχνευσον ἀρωγῆς.

## Ψαλμὸς ρῑθ.

Ἑνδεκάτη δεκὰς ἥδε πρὸς εἰνάτην ἄφθιτος οἴμη,
ᾠδὴ κλιμακόεσσα φερεζώων ἀναβαθμῶν.

Τειρόμενος βοάασκον, ἄναξ δέ μ᾽ ἐπάκουσε λιτάων.
χειλέων ἐξ ἀδίκων ἐμὸν ἄφθιτε ῥύεο θυμὸν,
μή με μάκαρ γλώσσης δολίης μήτηθρον ἐάσῃς.
γλώσσῃ ἄναξ δολερῇ τί νύ τις πόροι, ἢ τί προσίσαι·
ἀκήεντος ἔασι τεθηγμένοι αἰὲν ὀϊστοί,
θηροκόμου φλογεροῖσιν ὁμῶς ἄνθραξιν ἐρήμου.
ὤμοι, ἐπεὶ μάλα δηρὸν ἐπὶ χθονὸς οἰκία ναίω,
Κηδάρος καλύβῃσι συνέστια δώματα πήξας.
δηρὸν ναιετάασκον ἐπ᾽ ὀθνείῃσιν ἀρούραις.
εἰρήνης μετὰ πᾶσι φιλοπτολέμοισι δίωκον,
ἐς μόθον ὠτρύνοντο μάτην ληγέοντος ἐμεῖο.

## Ψαλμὸς ρκ.

Δωδεκάτη δεκὰς ἥδε, φερεζώων ἀναβαθμῶν.

Ὄμματα δενδροκόμων ὀρέων ὑπερεξετάνυσσα,
ἀλκὴν ἡμετέρης ποτιδέγμενος ἔνθεν ἀρωγῆς.
κάρτος ἐμὸν βασιλῆϊ παρ' ἀλκήεντι τέτυκται,
ὃς γαῖαν χλοερήν τε καὶ οὐρανὸν εὐρὺν ἔτευξεν.
ἀλλά φίλος μὴ σεῖο πόδα κλονέεσθαι ἐάσῃς,
μηδέ σευ ἀγρύπνου φύλακος νόον ὕπνος ἐρύξῃ.
οὐ γὰρ νυστάζοντα λάβοι κατὰ νήδυμος ὕπνος
φρουρὸν ἀγακλειέντα πολύφρονος Ἰσραήλου.
δεξιτερὴν σέο χεῖρα θεὸς σκεπάσει φυλάσσων·
οὔ σε πανημέριον φλέξει μένος ἠελίοιο,
οὐδέ σε παννυχίη κεραὴ σίνοιτο σελήνη.
παντοίης κακότητος ἄναξ ἀπάνευθεν ἐρύκοι,
ψυχῆς σῆς ἀλέγων· ἵνα μήποτε ἄλγος ἐφεύροι.
ἄφθιτος εἰσελάοντα καὶ ἐξελάοντά σε θάλποι,
νῦν ἅμα καὶ μετέπειτα διηνεκέεσσι γενέθλαις.

## Ψαλμὸς ρκα΄.

Δωδεκάτη δεκὰς ἥδε παλίσσυτος ἐς μίαν οἴμην.

Ἄνδρασιν ὡς πυθόμην, πολὺ δὴ πολὺ θυμὸν ἰάνθην,
οἵ με θεοῦ πρὸς δῶμα συνέμπορον εἶπον ἱκέσθαι.
ἔνθ' Ἱερουσαλῆς ἱερὰς ἀμφέσταμεν αὐλάς·
ἥδε οἱ οἷα πόλις τεκταίνετο ξυμμήεσσα·
ἀμφὶ δέ μιν ξυνάγερθεν ὅσοι πέλας εἰσὶ θυραῖοι.
κεῖθι γὰρ ὠτρύνοντο μολεῖν δυοκαίδεκα φυλαί,
δήμων μαρτυρίη θεοτερπέος Ἰσραήλου·
ὄφρα κεν ὑμνήσωσιν ἀκήρατον οὔνομα θεοῦ.
κεῖσε σφαὶ πήγνυντο δίκῃ μεμαθημέναι ἕδραι.
Δαβίδου ῥηξισθενέος μετὰ δώμασι θῶκοι.
εἰρήνην Ἱερουσαλῆ δίζεσθε βαθεῖαν·
τοὺς σέ μάκαρ φιλέοντας ἀπειρέσιος μένοι ὄλβος.

ἕρκεσιν εὐπύργοισι πέλει φυσίζοος ὄλβος.
αὐτοκασιγνήτων δὲ ἐμῶν χάριν ἀφθιτ' ἑταίρων,
εἰρήνην λαλέεσκον ἐγὼ σέθεν εἵνεκα βουλῆς·
ἔνθα δὲ σεῖο δόμων ποθέων σέθεν ὄλβια πάντα.

Ψαλμὸς ρκβ΄.

Δωδεκάτη δεκὰς ἥδε, φέρει δ' ἅμα δεύτερον ὕμνον.

Ὀφθαλμοὺς ἀνάειρα πρὸς οὐράνιον βασιλῆα·
ὡς δὴ ὁπότε δμώεσσι φάος μετὰ χερσὶν ἀνάκτων,
ὡς δ' ὁπότ' ἀμφιπόλοιο φάος μετὰ χερσὶν ἀνάσσης,
νωΐτερον μάκαρ ὄμμα τεῆς ἐπιμαίεται δίκης,
εἰσόκε δευομένοισι τεὴν ἠέκτιν ὀρέξῃς.
ἡμέας δὴ ἐλέαιρε μακάρτατε, μηδ' ἀπολήγοις,
ὕβελος εἵνεκα πάντες ἐνεπλήσθημεν αἰσχῆς.
θυμὸς ἐνὶ στήθεσσι κακῶν βέβριθεν ἑκάστῳ·
ἀνδράσιν ἀφνειοῖσιν ὀνείδεα πικρὰ λελείφθω,
αὐτὰρ ὑπερφιάλοισιν ἐλέγχεα πάντα τετύχθω.

Ψαλμὸς ρκγ΄.

Ἥδε δυωδεκάτη τρίτατον δεκὰς ὕμνον ἄγουσα.

Ἡμέων εἰ μὴ φρουρὸς ἔην ῥυσίπτολις ἐστήν,
εἰ μὴ φρουρὸς ἔην, λεγέτω μέγας Ἰσραήλος,
ἄμμι κορυσσόμενοι δήϊοι μετὰ φύλοπιν ἄνδρες,
καί κε καταβρώξαντες ἔπι ζώοντας ἕλοντο·
τῶν δὲ κοτεσσαμένων φλογερῷ καὶ ἀπηνέϊ θυμῷ,
καί κε θοὸν βρυχίοις κατερήτυεν ἡμέας ὕδωρ.
θυμῶ χειμερίοιο παρήλθομεν ὕδατος ὁρμήν·
ψυχὴ δ' ἡμετέρη παρεξήλυθεν ἀστάθες ὕδωρ.
αἰνετὸς ὃς θήρην σφετέροις οὐ δῶκεν ὀδοῦσι·
νωΐτερος στρουθῷ πανομοίιος ἔπλατο θυμός,

δεινὰ ὀρεσιτρόφων προφυγὼν λίνα θηρητήρων.
δίκτυον ἐῤῥαίσθη, φυγόμεσθα δ᾽ ἄπρηκτον ἀνάγκην.
ἡμέτερον βασιλῆϊ παρ᾽ ἀθανάτῳ κράτος ἐστὶν,
ὃς γαῖαν χλοερήν τε καὶ οὐρανὸν εὐρὺν ἔτευξε.

Ψαλμὸς ρκδ'.

Δωδεκάτη δεκὰς ἥδε, φέρει δ᾽ ἅμα τέτρατον ὕμνον.

Οὔρεϊ ἀθανάτῳ πίσυνοι Σιῶνος ὁμοῖοι·
οὐχ Ἱερουσαλῆς ναέτην κλόνος αἰνὸς ἱκάνοι.
οὔρεά οἱ κύκλῳ, δήμου, ὅ, τε κυκλόθεν ἐστὴν,
τῶν ἅμα καὶ μετέπειτα διηνεκέεσσι γενέθλαις.
οὐ γὰρ ἀτασθάλλοντος ἄναξ ποτὲ ἐρᾶβδον ἐάσσει
κλήρῳ ἀειπρεπέων ὁσίων ἐναρίθμιον εἶναι·
ὡς μὴ ἐπ᾽ ἀμπλακίῃ παλάμας τανύσωσι δίκαιοι.
τοῖς ἀγαθοῖς ἀγάθυνον ὁμοῦ τ᾽ ἰθύφροσι θυμῷ·
τοὺς δὲ λιλαιομένους σκοπίης βουλῇσι κυδοιμοῦ,
δυσνομίης ἄχραντος ἅμ᾽ ἐργατίνῃσιν ἀπάξει.
εἰρήνη χαρίεσσα μετὰ κλυτὸν Ἰσραῆλον.

Ψαλμὸς ρκε'.

Δωδεκάτη δεκὰς ἥδε, μῦθος θ᾽ ἅμα πέμπτον ἔχουσα.

Σιῶνος παλίνορσον ἄναξ ὅτε ληΐδ᾽ ἀγείρει,
ἄμμι πολυστονάχων ἀχέων παραμύθιον ἦεν.
ἆ πόσον ἐμπλησθέντες ἀνὰ στόμα χάρμα φέροιμεν,
τερπωλῆς δ᾽ ῥόεσσαν ὅλης ἐγκύμονα γλῶσσαν.
καί κέ τις ἀλλοδαπῶν ἐρέει καὶ νόσφιν ἀκούσας,
ταῦτα θεοῦ βασιλῆος ἔφυ μεγαλαυχέα ἔργα.
ἡμεῖς ἐπ᾽ εὐφροσύνῃ τε καὶ ἀγλαΐῃ τελέθοιμεν.
ἡμετέρην στρέψειας ἀλήμονα ληΐδα ποιμὴν,
οἷα νότου πνοιῇ στρέφεται χειμάῤῥοος αἰνός.

οἷα νότου πνοιῇ στρέφεται χειμάῤῥοος αἰνός.
δάκρυσιν οἱ σπείροντες ἐπαμήσωσι χαρέντες.
γειαρόται στενάχιζον ἑὸν σπόρον ἐξαγαγόντες.
αὐτὰρ ὁλοοῦ δ' ἀπὸ φέροιντο γόου πέρι δράγμασι χάρμα.

## Ψαλμὸς ρκϛʹ.

Δωδεκάτη δεκὰς ἥδε, μέλος δ' ἔχει ἕκτον ἀγητόν.

Εἰ μὴ παμβασιλεὺς ἐθέλων δωμήσεται οἶκον,
ἃ πόσα μοχθίζουσι μάτην πέρι τέκτονες ἄνδρες·
εἰ μὴ παμβασιλεὺς ἀειδείκετον ἄστυ φυλάξει,
μαψιδίως ἄγρυπνον ἔχει πυλαωρὸς ὀπωπήν.
ἐκ δ' ἠοῦς κενεὴ πέλεται φυλακή τις ἑκάστω.
ἔγρεσθε, οἵ μοι ὧδε κατὰ σφέας ἑδριάασθε,
δαιτὸς ἀπαινύμενοι μογερῆς πολυώδυνον ἄρτον.
εὖτε γὰρ οἷσι φίλοισι μόλοι περινήδυμος ὕπνος,
δέρκεό μοι βασιλῆος ἰὼν κλῆρόν τε καὶ υἷας,
γαστρὸς καρποτόκοιο φίλον καὶ ἀγακλέα μισθόν.
οἷα γὰρ ἠγκήεντι πέλει μετὰ χερσὶ βέλεμνα,
ὧδε τιναχθέντων θεναροῖς θηήσεται υἷας.
ὄλβιος ὅστις ἔθεν φίλον ἵμερον ἐκτολυπεύσει·
οὐ δ' ἐχθροῖς ληγέοντες ἕλοι ψύθος αὖτα πυλάων.

## Ψαλμὸς ρκζʹ.

Ἕβδομον ἀμφιέπουσα δυωδεκάτη δεκὰς ὕμνος.

Ὄλβιοι οἷσι μέμηλε μετὰ σφίσι δεῖμα θεοῖο,
οἷσιν ὁδῷ βασιλῆος ἀεὶ πόδες εἰσὶν ἑτοῖμοι.
τέρψαι ὧν ἐμόγησας ἔδων μελιηδέα καρπόν·
ἔσται τοι καλὰ πάντα, βροτῶν δ' ὄλβιστος ἀκούσεις·
σὴ δάμαρ ἡμερίδι πανομοίιος οἶκον ἐρέψει,
υἱέες αὖ νεαραῖς ἴκελοι γεγαῶτες ἐλαίαις,

ἀμφὶ τεῆς θαλέθοντες ἱκοίατο κύκλα τραπέζης.
ὧδε μάλ' ὀλβιάζοντ' ὁπόσοι θρομέοισιν ἄνακτα.
ἄφθιτον ἐκ Σιῶνος ἔχοις βασιλήϊον αἶνον·
θεσπεσίης δ' Ἱερουσαλῆς θηήσεαι ὄλβον,
ἀκαμάτου βιότοιο διαμπερὲς ἤματα πάντα·
υἱωνοὺς περὶ παισὶ φίλοις ὅσσοισι νοήσεις·
εἰρήνη χαρίεσσα μετὰ κλυτὸν Ἰσραῆλον.

Ψαλμὸς ρκη.

Ὀγδόον ἀστράπτουσα δυωδεκάτη δεκὰς ὕμνος.

ΠΟλλάκις ἐξ ἥβης μοι ἀναιδέα τεῦξαν ἀϋτὴν,
βαζέτω ἀγκήεις καὶ ἀοίδιμος Ἰσραῆλος.
πολλάκις ἐξ ἥβης μοι ἀναιδέα τεῦξαν ἀϋτὴν,
οὐδέ μοι ἐσσύμενοι πάρος ἔσθενον ἰσοφαρίζειν.
δυσσεβέες τέκταινον ἐμῷ κακὰ κήδεα νώτῳ,
ἀμπλακίην σφετέρην ἀποφώλιον ἐκτανύοντες.
αὐτὰρ ἄναξ ὅσιος κατὰ δ' ἔκλασεν αὐχέν' ἀλιτρῶν·
αἶσχος ἀπεχθαίροντας ἀεὶ Σιῶνα καλύπτοι.
καρφαλέοι δὲ γένοιντο ὅπως περὶ δώματα χόρτος,
ὅς τε πρὸ ἀμήτηρος ἀμειδέϊ κάρφεται ὥρῃ.
οὐ παρ' ἀμαλλοδετὴρ κενεὴν μόλε χεῖρα κομίζων·
οὐδ' ἄρα κόλπον ἔπλησεν ἐτήσια δράγματ' ἀγείρων,
οὐδὲ παρερχομένων τις ἐπήνεσεν αὐέρας ἔργου·
αὐέρας ἤνιζον θέρει κεχαρηότας ὥρῃ.

Ψαλμὸς ρκθ.

Δωδεκάτη δεκὰς ἥδ' ἀμφ' εἴνατον ὕμνον ὁρᾶται.

ΝΕιόθεν ἐκ βόθροιο βοὴν ἀνέμυσα χατίζων,
αὐδῆς ἡμετέρης πανυπέρτατε κέκλυθι ποιμήν·
ἱκεσίης ἐπάκουσον, ἐμὴν δ' ὑποδέχνυσο φωνήν.

ἢν γὰρ δυσνομίας μερόπων στέρνοισι φυλάξῃς,
τίς βροτὸς ἀθανάτοιο δυνήσεται ἀντία θυμοῦ.
αἰὲν ἄναξ ἐλεημοσύνην πραπίδεσσι φυλάσσεις·
εἵνεκα σῆς σοφίης ἀρετὴν βασιλήϊον ἔτλην·
θυμῷ ἐπέσπευδον θεοπρεπέα θεσμὸν ἑλέσθαι,
καὶ κραδίῃ πόθεόν σοι ἐμὴν μάκαρ ἐλπίδα θέσθαι,
ἤματος ἐκ φρουρᾶς νυχίων καὶ μέχρι κελεύθων,
ἤματος ἐκ φρουρῆς μενέτω θεὸς Ἰσραήλῳ·
οὕνεκ' ἄναξ ἐλεητὺν ἔχει καὶ ἐλεύθερον ἦμαρ,
ῥυόμενος κακότητος ὅλον κλυτὸν Ἰσραῆλον.

## Ψαλμὸς ρλ'

Οὗτος τῆς δεκάδος τρισκαιδεκάτης πέλει ὕμνος.

ΟΥποτέ μοι πραπίδεσσιν ὑπέρβιον ἦτορ ἀέρθη,
οὐδέ μευ ἠπερόπευσε μετήορος ὄμματα λώβη·
οὐδέποτ' ἐν μεγάλοισιν ἔχον πεποτημένον ἦτορ.
οὐδέ τ' ἀρειοτέροις ἐπὶ θαύμασιν ἐξεπετάσθην,
ἀλλ' αἰεὶ φρόνεον χθαμαλώτατα μειλιχίῃσιν·
αὐδὴν δ' ᾧδ' ἀνάειρον ἀθέσφατον, οἷα γάλακτος
νηπίαχος χατέων ὀλοφύρεται ἀμφὶ τεκούσῃ·
ὥς κεν ἀμοιβαίοισιν ἐμὸν μετελεύσεται ἦτορ.
Ἰσραῆλος ἄνακτα θεὸν πραπίδεσσι δοκεύοι,
νῦν ἅμα καὶ μετέπειτα διηνεκέεσσι γενέθλαις.

## Ψαλμὸς ρλα'.

Ἐκ τρισκαιδεκάτης δεκάδος πρῶτον καλεύσης
ἡδὺ μέλος λιγυρόν τι φρεζώων ἀναβαθμῶν.

ΜΝήσθητι Δαβίδου, καὶ μειλιχίης ἑο πάσης.
ὤμοσεν ἀθανάτῳ, βασιλῆϊ δ' ἂρ εὔξατο βίᾳ·
εἴποτε τιμήεντος ἐλεύσομαι ἔνδοθεν οἴκου·

ἢ πλυ-

εἰ πολυκαλλίστων λεχέων ἐπιβήσομαι εὐνῆς,
εἴποτε μείλιχον ὕπνον ἐμοῖς ὑποδέξομαι ὄσσοις,
εἰ καταινυστάζειν τε φίλοις βλεφάροισιν ἐάσω,
εἰ κροτάφοις ἀνάπαυμα μεθ' ἡμετέροισιν ἑτοίμην,
εἰσόκε τιμήεντα τόπον βασιλῆϊ κιχείω,
ἄφθιτον ὄφρα κε νηὸν Ἰακώβου θεῷ εὕρω.
τὴν δὲ μὲν ὡς πυθόμεσθα, κατ' Ἐφραθὰ βάξις ἀείδει·
εὕρομεν, οἷ δ' ὅτι βάξις ἀνὰ δρυμὰ κατὰ βήσσας.
δεῦτε φίλοι, καλύβας δὲ μετέλθομεν ἀθανάτοιο,
καὶ δάπεδον γεραρὸν γουνασόμεθ' οὗ πόδα πῆξεν.
ἔγρεο παμβασιλεῦ, ἀνάπαυμα δὲ σεῖο κιχάνοις·
σὺν δ' ἅμα φωριαμὸν πανακήρατον αὐτὸς ἐγείροις.
σεῖο μάκαρ πυκάσαιντο δικαιοσύνην ἱερῆες,
πολλοὶ δ' εὐαγέες περὶ χάρματι γηθήσειαν.
εἵνεκα Δαβίδου μεγαλοσθενέος θεράποντος,
μήποτε σὴν χριστοῖο μεταστρέψειας ὀπωπήν.
ὤμοσε Δαβίδῳ βασιλεὺς παναληθέα ῥέξαι,
ὤμοσε καὶ κατένευσεν, ἑοῖς δ' οὐ ψεύσεται ὅρκοις,
θώκῳ διακτορίης σέο νηδύος ἔρνος ἐρεῖσαι.
συνθεσίην εἰ φῦλον ἐμὴν σέο τήνδε φυλάξει,
μαρτυρίας τ' ἀγαθάς, ἅς σφιν φρεσὶν αὐτὸς ἐρείσω.
οὔποτ' ἀπολλήξειε τεῆς ὑπερήμενον ἕδρης·
οὕνεκα δὴ Σιῶνα θεὸς προελέξατο θέλων,
ὡς δέμιν ἱμερτὸν ποθέει καὶ ἐπήρατον οἶκον.
τοῦτό μοι ἐς ἀνάπαυμα μετ' ἀλήκτοισι γενέθλαις·
ἐνθάδε ναιετάοιμι πόθῳ πεπεδημένος ἐσθλῷ.
δώματα μὲν πλήσαιμι ἀγαθῶν ἐπιδευέα χήρας·
πτωχοῖς δ' αὖτ' ὀπάσαιμι βίου μενοεικέα δαῖτα·
ἔνθα μὲν ἀρητῆρι πέλοι φάος ἀμφιβαλέσθαι,
πολλοὶ δ' εὐαγέες περὶ χάρματι γηθήσειαν.

ἐνθάδε Δαβίδῳ κέρας ἄφθιτον ἀντείλαιμι.
χριστῷ λύχνον ἕτοιμον ἐμῷ πόρον ἡγεμονῆα·
αἶσχος δυσμενέεσσιν ἑοῖς καὶ μῶμον ἀνάψω·
ἡμετέρη δ' ἀμφ' αὐτὸν ἀκηρασίη ἀνατέλλοι.

## Ψαλμὸς ρλβʹ.

Ἐκ τρισκαιδεκάτης δεκάδος μετὰ δεύτερον ὕμνος,
οἴμη τ' ἐννεσίης ἄφθιτος εὐεπίης.

ΤΙ θνητοῖς καλὸν ἔσκε, τί δ' αὖ τερπνιστὸν ἐτύχθη,
ἢ ἐ κασιγνήτοισιν ὁμοῦ φίλα δώματα ναίειν.
μύρον ἐπεσσύμενον κεφαλῆς δ' ὡς μέχρι γενείου,
Ἀρῶνος γεραροῖο γενειάδα πᾶσαν ἔφερπον·
ἐκ δέ οἱ ἀνθερεῶνος ἐπιστρέχον ἔσχατα πέπλου·
ὡς δρόσος αἰθερίη πολυανθέος Ἀερμῶνος,
οὔρεσιν ἀγλαοκόμοισιν ὑπὲρ Σιῶνος ἰοῦσα.
εὐλογίην ὅτι πᾶσαν ἑὴν ἐπετείλατο ποίμνῃ,
νωλεμέως βιότοιο διαμπερὲς ἔμμεναι ἦμαρ.

## Ψαλμὸς ρλγʹ.

Ἐκ τρισκαιδεκάτης δεκάδος τρίτατος πέλει ὕμνος.

ΔΜῶες πάντες ἄνακτος ἀείσατε ποιμένα κόσμου,
ἱστάμενοι βασιλῆος ἐρισθενέος κατὰ δῶμα,
οἶκον οἳ μεθέποισι θεοῦ εὐρυκέας αὐλάς.
πάννυχοι ἐν ἁγίοισι δόμοις ἀναείρατε χεῖρας,
καὶ μεγαλοσθενέτην ἀναμέλψατε παμβασιλῆα.
δοίη τοι βασιλεὺς σιωνόθεν αἶνον ἕτοιμον,
ὃς γαῖαν χλοερήν τε καὶ οὐρανὸν εὐρὺν ἔτευξεν.

## Ψαλμὸς ρλδʹ.

Αἰὲν ἀγακλεῖειν περὶ τέτρατον ὕμνον ὁδεύει,
τῇ τρισκαιδεκάτῃ δεκάδι μέλος ὁμηλυσίᾳ.

Οὔνομα ὑμνῆεν κελαδήσατε παμβασιλῆος·
ποιμνία ὑμνήεντα σοφοὶ ἀναμέλψατε παῖδες,
ἱστάμενοι βασιλῆος ἐρισθενέος κατὰ δῶμα,
οἵ τε θεοῦ μεθέπουσι δόμων εὐρηκέας αὐλάς,
μέλψατέ μοι βασιλῆα, ἐπεὶ θεὸς ἐσθλὸς ἐτύχθη·
οὔνομά οἱ φορμίζετ᾽, ἐπεὶ τόδε καλὸν ἀείδειν.
οὕνεκ᾽ Ἰάκωβον πινυτὸν περιλέξατο ποιμήν,
καὶ κτῆσιν σφετέρην ἔθετο κλυτὸν Ἰσραῆλον.
οἶδα φίλης πραπίδεσσιν ὅπως μέγας ἔπλετο ποιμήν·
ἡμέτερος βασιλεὺς μακάρων περιγίγνεται ἄλλων,
τεύχων ὁππόσα θυμῷ ἀεισοπόνῳ μενεαίνει
οὐρανῷ ἀστερόεντι, καὶ ἐν χθονὶ πουλυβοτείρῃ,
πυθμέσιν ἐν βυθίοισι καὶ ἐν πάσῃσι θαλάσσης.
ὀμβροτόκους νεφέλας πυμάτης χθονὸς ὕψος ἀείρων,
ὑετὸν αἰθέρι ἀστεροπὰς σημήια θῆκεν.
αὐτὸς ἄναξ ταμίων ἀνεμοδρόμων ἔξαγεν ἀγκήν·
πᾶσαν πρωτοτόκων δάμασεν Νείλοιο γενέθλην,
σὺν δὲ τετραπόδων ἀγέλας μερόπεσσιν ἐναίρων·
γαίης αἰγυπτίης μέσα θέσκελα μυρία τεύχων·
οἶδε παθὼν Φαραώ, δμῶες δέ οἱ οὐ φύγον ἄτην.
αὐτὸς δυσμενέων κατενείρατο μυρία φῦλα,
ἰφθίμους βασιλῆας ὑπερμενέως ἐναρίζων,
κάρτιστον Σηῶνα ἀμορραίων βασιλῆα,
Ὤγοντε σθεναρὸν βελαρῆς Βασαίου ἄνακτα,
κοιρανίας θ᾽ ἑτέρας Χανάαμου παιδοφονῆος.
τῶν δ᾽ ἄρα γαῖαν ἑλών, σφετέροις διεδάσσατο κλῆρον,
κλῆρον ἑῷ θεράποντι κατὰ χρέος Ἰσραήλῳ.
οὔνομα παμβασιλῆος ἀεὶ παναγήραον ἔστω·
ἐκ γενεῆς γενεὴν δὲ θεοῦ μνημήιον ἐσθλόν·
οὕνεκα δὴ σφετέροισιν ἄναξ λαοῖσι δικάσοι·

ἀμφὶ φίλοις δμώεσσιν ἄκος παραμύθιον ἴσχων.
εἴδωλα χρυσός τε καὶ ἄργυρος ἔπλετο δήμων,
ἀνδρομέων ἀγαπαδνὰ σοφῶν δαιδάλματα χειρῶν·
οἷς οὐ φθόγγος ἔπεστι, καὶ εἰ στόμα τοῖσιν ἐτύχθη·
οὐδὲ φάος φορέουσι περὶ ξεστῆσιν ὀπωπῆς·
οὔατα μοῦνον ἔχουσι, καὶ οὐκ ἀΐουσιν ἀϋτῆς·
οὐδ' ἱερὴ ῥίνεσσιν ἐπέρχεται ἠέρος ὀδμή·
οὐ σθένος ἀμφαφόωντι καὶ εἰ χέρεσσι κέκασθεν·
οὐ ποσὶν εὐφόρβοιο κατὰ χθονὸς ἴχνος ἐρεῖσαι·
οὐδ' ἀπὸ λαυκανίης φθογγὴν ἀναπεμπάσασθαι·
οὐ γὰρ δὴ σφίσι πνεῦμα διὰ στόματος περιβδηέσθαι.
τέκτονες εἰδώλοισι γενοίατο τοῖσιν ὁμοῖοι,
καὶ πάντες τοὶ τοῖσι νόῳ περιθαρσέες εἰσίν.
μέλψατέ μοι βασιλῆα σοφοῦ δόμος Ἰσραήλου.
πᾶς δόμος Ἀρῶνος κελαδήσατε παμβασιλῆα·
Λευΐδα κλυτὸς οἶκος ἀείσατε ποιμένα κόσμου·
οἷς φρεσὶ δεῖμα θεοῖο μένει, κελαδήσατ' ἄνακτα.
αἰνετὸς ἐκ Σιῶνος ἄναξ πανυπέρτατος ἔσται,
ἀμφ' Ἱερουσαλὴμ θεοπρεπέα δώματα ναίων.

## Ψαλμὸς ρλε.

Τῇ τρισκαιδεκάτῃ δεκάδι κλυτὸν ἀγηλυΐα,
ἡδύ τι καὶ λιγυρὸν πέμπτον ἄεισμα πέλει.

Λαοὶ μειλιχίῳ ἀναμέλψατε παμβασιλῆος,
οὕνεκα νωλεμέως σφετέρην γενετὴν ἀέξει.
ἀθάνατον μακάρων ἀναμέλψατε παμβασιλῆα·
οὕνεκα νωλεμέως σφετέρην γενετὴν ἀέξει.
μέλψατέ μοι βασιλῆα μεγασθενέτην βασιλήων·
οὕνεκα νωλεμέως σφετέρην γενετὴν ἀέξει.
ὃς μοῦνος δεδάηκεν ἀθέσφατα θαύματα τεύχειν·

οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
οὐρανὸν ἀστερόεντα σοφῇ τεχνήσατο βουλῇ·
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
γαῖαν ἐπεστήριξεν ἐφ' ὕδασιν οὐ πρὶν ἐοῦσαν·
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
ὃς θεναροὺς φωστῆρας ἑῷ τεχνήσατο μύθῳ·
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
ἠέλιον φαέθοντα καλῆς ἐπίηρανον ἠοῦς·
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
πείρεα καὶ μήνην νυχίων βασιλεῖδα ἀταρπῶν·
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
πρωτοτόκων αἴγυπτον ὁμῶς ἐδάμασσε γενέθλην·
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
τὸν δ' ἐκ μέσσων ἑλὼν ἐξήγαγεν Ἰσραήλον·
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
θαρσαλέῃ μάλα χειρὶ, βραχίονι πάντα πεποιθώς·
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
αἴδιχα ῥηξάμενος ἐρυθραῖον πολλάκι πόντον·
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
τοῦδε μέσον στείχοντα διήγαγεν Ἰσραήλον.
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
ὅς τ' ἐρυθρῷ Φαραῶνα βίην θ' ἑὸν κάκτανε πόντῳ·
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
καὶ γαίῃ ἀβάτῳ γε διήγαγεν Ἰσραήλον·
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
ὃς μεγάλους βασιλῆας ὑπερμενέως ἐνάριξεν:
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
ῥηϊδίως δ' ἀλάπαξεν ὑπερκύδαντας ἄνακτας·
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
ἀντίθεον Σηῶνα ἀμορραίων βασιλῆα·

οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
Ὤγόν τε σθεναρὸν βελαρῆς Βασάνου ἄνακτα·
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
τὴν δ' ἄρα γαῖαν ἑῶν, σφετέροις διεδάσσατο κλῆρον·
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
κλῆρον ἑῷ θεράποντι κατὰ χρέος Ἰσραῆλον·
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
εἵνεκα τειρομένων ἡμέων ἐμνήσατο ποιμήν·
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
ἐκ δ' ἄρα ῥιγεδανῶν δηΐων ἀπελύσατο λαόν·
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
ὃς πᾶσιν θαλίην οἷς ἔκτισε μοῦνος ὀπάζει·
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
μέλψατέ μοι βασιλῆα μέγαν πόλυ ἀστρόεντος·
οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.

## Ψαλμὸς ρλϛ.

Ἐκ τρισκαιδεκάτης δεκάδος πινυτοῖο Δαβίδου
ᾆσμα γόων ἀμφ' Ἱρεμίου, τόπερ ἔκτον ἐτύχθη,
ἀμφ' Ἱερουσαλῆς, Βαβυλώνιον ἦλθον ὅθ' ὕδωρ.

Κλαύσαμεν ἑζόμενοι ποταμῶν Βαβυλῶνος ὕπερθεν,
μνησάμενοι Σιῶνος ἀειπρεπέος τ' ἀγεωρῆς·
μεσσόθι γὰρ ποταμῶν ὑπὲρ ὀλεσίκαρποι ἰτέαι
ἡμέτεραι φόρμιγγες ἀπῃώρηντο λιγεῖαι.
κεῖσ' ἀναειρόμενοι ληΐστορες ἔννεπον ἄνδρες,
ἡμέας οἵ τε ἔπερσαν ἀειδέμεναι σφίσιν ὕμνον,
ἐκ μελέων Σιῶνος ἀγακλέος εἴπατε μολπήν.
θεῖον ἐν ἀλλοδαπῇ πῶς μὲν μέλος ἐστὶν ἀεῖσαι·
αἴ χ' Ἱερουσαλὴμ πολυήρατε σεῖο λαθοίμην,
ἡμετέρη λελάθοιτο φίλη κατὰ δεξιτερὴ χείρ·

πηγνυμένη περὶ λαιμὸν ἐμὴ κάρφοιτό κε γλῶσσα,
εἰ μή σευ κατὰ θυμὸν ἀεὶ μεμνημένος εἴην,
ὡς Ἱερουσαλὴμ καὶ εὐφροσύνην περιβαλοίμην.
καὶ σὺ μάκαρ τεκέων ἐπιλήθεο μή ποτ' Ἐδώμου,
ὄλβιον ἦμαρ ἔχειν Ἱερουσαλῆς ἐριτίμου,
τῶν ποτὲ βαζόντων, κενεή, κενεή τις ὄλοιτο,
μηδ' ἔτι οἱ φείδεσθε, ἕως ἔτι πυθμένας ἴδῃ.
ὦ θύγατερ Βαβυλῶνος ἀεὶ περικάμμορος εἴης·
ὄλβιος ὃς προτέρης σε βίης ἀποτίσεται ἀνήρ,
ὃς πέτρης ὕπερθε μολὼν σέο νήπια ῥήξει.

## Ψαλμὸς ρλζ.

Ξυνὸν Ζαχαρίου Ἀγγαίου τόδ' ἄεισμα
πρὸς τρισκαιδεκάτῃ δεκάδι λιγὺ ἕβδομον ἔννι.

ἈΛήκτῳ κραδίῃ βασιλεῦ τεὸν ὕμνον ἀείσω·
οὕνεκα παντοίων ἐπέων ἤκουσας ἐμεῖο.
ἄντα μάκαρ μέλψω σε θεοδμήτων στρατιάων·
ἄχραντον σέο νηὸν ἐπεσσυμένως λιτανεύσω,
σπουδῇ παμβασιλῆος ἀκήρατον οὔνομα μέλψω,
σήν τ' ἐλεημοσύνην καὶ ἀλήθεια πάντοτε βουλήν·
οὔνομ' ἐπεὶ πάντων κρατέει σέο πᾶσιν ἀνάσσον.
κέκλυθί μευ καλέοντος, ὅτε χρέος ἔστι λιτέσθαι·
ψυχῇ νωϊτέρῃ ζωαρκέα καιρὸν ὀπάζοις.
ἀθάνατον βασιλῆες ὅλης χθονὸς ἀείδοιεν·
οὕνεκα παντοίων σέθεν ἔκλυον οὔασι μύθων.
θεσπεσίοις μελέεσσιν ἀνυμνήσουσι θεοῖο·
οὕνεκα δὴ χθόνα κῦδος ἀεὶ νεφέεσσι καλύπτει.
αἰὲν ἄναξ ὕψιστος, ἀτὰρ χθαμαλώτατα λεύσσει·
ἴδμων δ' ὑψίστων πέλεται καὶ τῆλε δεδορκώς.
ζωγρήσεις ὀλοῇ με μέσον δεδμημένον ἄτῃ

χεῖρας δυσμενέεσσιν ἐμοῖς θώρυξα χολωθείς.
δεξιτερὴ δέ με σεῖο κακῶν ἀπελύσατο μόχθων.
ἀντ' ἐμέθεν δηΐοισιν ἀκερδέα μισθὸν ὀπάζοις.
νωλεμέως ἐλεητὺν ὑπὸ στέρνοισι φυλάσσοις·
μηδὲ τεῆς βασιλεῦ παλάμης ὑπερόψιο ἔργα.

Ψαλμὸς ρλη'.

Ἀμφὶ διαπρεπέης λιγυρὸν μέλος ᾖσε Δαβίδος,
ὄγδοον ἀμφ' ἑκατοστῷ ἐτύχθη καὶ τριακοστῷ.

Αὐτὸς ἄναξ ἐδάης με, καὶ ἐξιχνεύσαο κίλω,
οὐδέ σε ἑζόμενός τε καὶ ἐρχόμενός ποτε λήθω.
νόσφιν ἐμὰς ξυνέηκας ὑπὸ στέρνοισι μενοινάς,
ἴχνος ἀνιχνεύων δὲ ἐμὴν ἴδμεν ἀταρπόν·
οὐδὲ τεοῖς ὄσσοις τις ἐμῶν προλέλαστο κελεύθων.
οὐ γέπω ἐκ γλώσσης προχέειν ἀθεμίστιον ἔγνων,
αὐτὸς ἔφυς πυμάτων τε παλαιγενέων τε δαήμων·
καί με διαπλάσσας ὑπεθήκαο χεῖρα καρήνῳ.
θαῦμα μ' ἔχει ὅτε σεῖο περιφράσσομαι φρεσὶ μῆτιν,
οὐδὲ νόῳ δύναμαι κρατερώτατα πολλὸν ὁρᾶσθαι.
πνεύματος οὐκ ἄρα σεῖο μέγα κράτος εἶεν ἀλύξαι,
οὐδὲ τεῆς ἀπανευθε κατακρύπτεσθαι ὀπωπῆς.
οὐρανὸν αἴκε μόλοιμι, τεὸς θρόνος οὗτος ἐτύχθη·
ἢν ἀΐδην δ' ἔλθοιμι, καὶ ἐν νεκύεσσιν ἀνάσσεις.
ἢν δὲ καὶ ἰθυπόρους πτέρυγας ἀνέμοισι πετάσσω,
αὐλισθῶ νεάτοισι πολυσμαράγοιο θαλάσσης·
ἔνθα κε σῆς παλάμης δευήσομαι ἡγεμονῆος,
καὶ σέο δεξιτερῆς, ἵνα μοι βίος ἔμπεδος εἴη.
εἶπα δέ, μὴ τάχα με στείψει φθισίμβροτος ὄρφνη·
νύκτα δὲ καίνυτο τέρψις, ἀτὰρ κνέφας ἤλασε φέγγος.
ὄρφνην γὰρ δεδάηκε τεὸν φάος ἀμφικαλύπτειν,

καὶ νύκτα δνοφερὴν τελέει φαεσίμβροτον ἦμαρ·
οὔ τις ἂν ἀγνοίῃ ποτὲ κνέφας ἢ φάος εἴη.
οὕνεκεν ἡμετέρους βασιλεῦ ἐκτήσαο νεφρούς·
ἦκαρ ἐμὸν μάκαρ ἐσσὶ φίλης ἐν γαστρὶ τεκούσης.
ἐκπάγλως θνητὸν ἐμὸν βασιλῆα βοήσω·
θυμὸς ἐμὸς σέθεν ἔργα μάκαρ περιθαμβὲς ἀνέγνω.
γινώσκεις ἐμέθεν τάπερ ἔπλασας ὀστέα λάθρῃ,
καί μευ νερτερίοις βιότου σθένος ἐπὶ θεμέθλοις.
εἶδες ἄναξ μ' ἀτέλεστον ἔτ' ἐνὶ γαστρὶ τεκούσης,
δαιδάλλων ἅμα πάντας ἐπ' ἀχράντῳ σέο βίβλῳ·
οὐδέ τις ἀμφαδίην τεκταινομένοισι παρείη.
αὐτὰρ ἐμοὶ περὶ δὴ μάλα φίλοι σέθεν εἰσὶν ἀγητοί·
ἀρχομένων δὲ μάλιστα βίη καταφαίνετ' ἀμείνων.
ψάμμον ἀριθμήσαιμι πολὺ πλέον ἤπερ ἐκείνους.
ἐγρόμενος μετὰ σεῖο διηνεκέως ἔτι μίμνω.
αἴ κε κατακτήνειας ἀτασθαλίης θεράποντας,
φεύγεμεν ἀνδροφόνοισιν ἐμὸν μῦθος αἶψα κελεύω·
ἀλλ' ἐρέεις, κενεὰς ὅτι μευ πρόσσοισι πόληας·
εἰ μὴ ἀπεχθαίροντας ἀπεχθαίρεσκον ἄνακτα,
τοῖς δ' ἐπὶ δυσμενέεσσιν ἐμὸς κατετήκετο θυμός·
ἔχθει πάντας ἔγωγε τελειοτάτῳ στυγέεσκον,
καί μοι δυσμενέες κραδίῃ καὶ ἀνάρσιοι ἦσαν.
ἀλλὰ περιφραδέως τὸν ἐμὸν νόον ἐξερεείνοις·
ἴχνια δ' ἀλύκτοισι διοπτεύσειας ἐλέγχοις.
δέρκεο δ', εἰ μὴ πάγχυ κακῶν ἀδάητος ἐτύχθην,
ὄφρα με ἡγήσαιο διηνεκέεσσι κελεύθοις.

## Ψαλμὸς ρλθ΄.

Καὶ τόδε Δαβίδου λιγυρὸν μέλος ἔπλετ' ἀοιδῆς,
ἐκ τρισκαιδεκάτης εἴνατον αὖ δεκάδος.

Αἴθε μάκαρ κακότητος ἀπ' ἀνδρομέου με σαώσοις,
ἄνδρα δ' ὑπεκφυγέειν ἀθεμίστιον ἄμμιν ἀλάλκοις.
οἳ σφετέρης ἀθέμιστα μετὰ φρεσὶ μερμήριξαν,
ἠμάτιοι δ' ὀλοοῖς μοι ἐθωρήσσοντο κυδοιμοῖς.
γλῶσσαν ἑὴν ὀφίεσσι κακοῖς θήγεσκον ὁμοίην,
ἀσπίδος ἀνδροφόνου περὶ χείλεσιν ἰὸν ἔχοντες.
εἴθε φυλασσοίμην συνεχῆς ἀπὸ χειρὸς ἀλιτρῶν,
ἀνδρῶν δ' ἐξ ἀδίκων με μακάρτατε ῥεῖα σαώσοις.
ἴχνια συγχεύειν οἵ μευ φρεσὶν ὁρμαίνεσκον·
λάθριά μοι κατέπηξαν ὑπερφίαλοι λίνα φῶτες·
μηρίνθους δ' ἐτάνυσσαν ἐμῆς περὶ δίκτυα πέζης·
θέντο δὲ δοχμώσαντες ἐφ' οἴμοισι δολβῆσιν.
εἶπα θεῷ βασιλῆϊ, θεὸς σύ μευ ἤπιος ἐτύχθης·
ἱκεσίης ἐπάκουσον ἐμῆς πανυπέρτατε ποιμήν.
ἄφθιτός ἐσσι μάκαρ, βιότου δέ μοι ἔπλεο φέγγος·
ἦμαρ ἐμῆς κεφαλῆς σκιόεν κατὰ δηϊοτῆτα.
μὴ κεδάσαις πόθον ἄμμι, πόροις μηδ' ἔπιθρον ἀθέσμοις.
μή με μάκαρ προλίποις σφετέρης ἅρπαγμα μενοινῆς,
μήποτε νικήσαντες ἀγηνορίῃσι μανεῖεν.
κύκλῳ ὑπὸ σφετέρης κεφαλῆς κακομήχανος ἄντυξ,
καὶ χειλέων ὀλοῶν κάματος σφέας ἀμφικαλύψει·
ἄνθρακες ἀκαμάτοιο πυρὸς μετὰ τοῖσι πέσοιεν·
ὑψόθεν ἐσσυμένῳ καθέλοις σφέας ἐς χθόνα πυρσῷ·
οὐδέ ποτ' ἀρκέσσουσι κακοῖς δεδμημένοι ἦτορ.
ἀνέρα λαυραγόρην καθέλοι κακομήχανος ὥρη·
ἀγρεύσει δ' ἀθέμιστος ἑῷ κακὰ κήδεα θυμῷ.
εὐδικίην ἀδόνητον ἄναξ πτωχοῖσι τελέσσει,
καὶ θέμιν ἀκτεάνων παρελεύσεται οὔποτ' ὀπωπαῖς.
ἔμπα γε μὴν ὁσίη σε βροτῶν μέλψειε γενέθλη·
εὐθέες αὖ βασιλῆος ὁμοῦ ναίοιεν ὀπωπῆς.

## Ψαλμὸς ρμ΄.

Ὕμνον ἀγακλείεντα φίλῃ φόρμιγγι λιγαίνει
Δαβίδος δεκάτης καὶ τετράτης δεκάδος.

Ἡμετέρων βοόωντος ἄναξ ὑπάκουε λιτάων,
ἱκεσίης τανύσας ἐμῆς ἀεἰκοον οὖας,
εὖτε μάκαρ καλέσαιμι τεὴν ἐπαρηγόνα χεῖρα.
αὐτὰρ σοὶ εὐχωλὴν μὲν ὅπως θύος ἰθύνειας.
ἑσπερίη δ' ἴκελος θυσίῃ παλάμας ἀναείρω.
δὸς περὶ νωϊτέροις φυλακὴν καὶ ἕρκος ὀδοῦσι,
χείλεσι δ' ἀσφαλέας πυλέων πετάσσας ὀχῆας.
θυμὸν ἀποκλίνειας ἐμὸν μύθων ἀθεμίστων,
μηδέ μοι ἀμπλακίης πρόφασις βουλῇσι μεδήσῃ,
ἀνδράσι δεινομένης κακοεργέος εἰς ἓν ἰόντι·
τῶν δὲ μετὰ προφότοις μὴ δ' εἰν ἀγορῇσι φανείην.
δμηθείην δ' ὁσίων ἐλεημοσύνῃ καὶ ἐλέγχοις·
μὴ δ' ἔτι αἰνοίμην ὀλοῷ κάρη ἀνδρὸς ἐλαίῳ.
εἰς ἔτι νωϊτέρη σφετέροις περὶ μήδεσιν εὐχή·
τῶν μὲν ἀμαλδυνοίατο δικασπόλοι ἐγγύθι πέτρης.
θαρσαλέοι μύθων σθεναρῶν ἀΐοιεν ἐμεῖο,
ῥιζόθεν οἷα λόφος τις ἀποδμηθεὶς ἐλιάσθη·
ὀστέα τῶν ἀΐδαο παρασχεδὸν ὧδε κεάσθη·
πρὸς σὲ μάκαρ τεθέυσαι ἐμὴν τανύεσκον ὀπωπὴν,
μή μευ ἐπελπομένην κραδίην ἀπάνευθεν ἐλάσῃς.
ῥίμφα σάω δολερῶν με λίνων ὧν στῆσαν ἀγεῖται,
ἔκ τε κακορραφίης ὀλοῶν κακότητας ἐρείθων.
δίκτυον ἀθανάτου ξυνέλοι κακότητος ἐρείθοις·
εὔκηλος δὲ μοῦνος ἐπισπεύδων παρελάσσω.

Ψαλμὸς ρμαʹ.

Δαβίδος πινυτῆς ὁπότε σπέος ἀμφιπολεύων
εὐχωλὴν ἀνέπεμψε θεῷ βασιλῆϊ βοήσας·
ἔμπα γε μὴν ἑκατοστὸς ὁμοῦ καὶ τεσσαρακοστὸς
ἀμφὶ πολυκλείεντι πέλει μελεδήματι προφότῳ.

Ἡμετέρην βασιλῆϊ βοὴν ἀνέπεμψα βοήσας, (σμυ.
φθεγξάμενος λιτὴν οἰκτίρμονα ποιμένα κό-
ἱκεσίην προχέοιμι περὶ παμβασιλῆος ὀπωπῆς.
καί οἱ ἀπαγγείλαιμι ἐμὸν πολυπήμονα μόχθον.
πνεύματος ἀδρανίη περιπεπτηῶτος ἐμεῖο·
ἴχνια θεσπεσίῃσι διοπτεύεσκες ὀπωπῆς.
ἀμφὶ τρίβοις δολόεντα λίνα κρύπτεσκον ἐμῇσι·
δεξιτερῆς σκοπίαζον ἐμῆς ὕπερ ὅστε ἑταίρων,
οὐδέ τις ἄμμε φίλων ὠΐσατο πάμπαν ὁρᾶσθαι.
φεύγειν ἰχανόωντος ἐμὴ πάρος ὤλετο φύζα·
οὐδ' ἦν ὅς τέ μοι ἦτορ ἀνιχνεύσειε φυγόντος.
αὐτὰρ ἐγὼ βοόων ἐφάμην, σύ μοι ἐλπὶς ἐτύχθης·
ζωόντων ἀνὰ γαῖαν ἐμῆς μάκαρ αἶσα βιώνης·
ἱκεσίην σκοπίαζε· κατεδμήθην γὰρ ἀνίῃ.
ἐκ κακομηχανίης ὀλοῆς δηΐων με σαώσοις·
οὕνεκα πολλὸν ἐμεῖο βίῃ προφερέστεροί εἰσιν.
εἶθέ μοι ἀπορρήκτου φυλακῆς ἐξείλεο θυμόν·
ὄφρα κεν οὔνομα σεῖο περιφραδέως ἀναμέλψω·
ἐκ σέο μισθὸν ἐμὸν γενεαὶ μίμνουσι δικαίων.

Ψαλμὸς ρμβʹ.

Δαβίδου κλυτὸς ὕμνος Ἀβεσσαλῶμος ἀμφόμου
ὅτε μιν υἱὸς ἑὸς σφετέρης ἐξήλασε πάτρης,
ἔμπα γε μὴν ἑκατοστὸς ἔφυ καὶ τεσσαρακοστὸς
δεύτερον αἰγλήεντα λαχὼν συμφράδμονα κόσμον.

Εὐχῆς ἡμετέρης ἐπικέκλυθι φέρτατε ποιμήν,
ἀτρεκέως καλέοντος ἐμῆς ὑπόδεχε λιτῆσιν·
σῇσι δικαιοσύνῃ μευ ἄναξ βοόωντος ἀκούσαις·
μηδὲ δικαζομένῳ μοι ἐπαντιάσειας ἀγῶνος.
οὔτις γὰρ μερόπων ὅσιος σέθεν ἄντα φανείη.
ἐχθρὸς ἐμὸν στονόεντα βιήσατο θυμὸν ἐλαύνων·
γαίης νερτερίοισιν ἐμὴν ὑπέταξε βιωήν,
ἀρρήκτοις νεκύεσσιν ὑπὸ κνέφας ἶσα καθίζων·
πνεῦμα δ' ἐμὸν πυκινῇσιν ἀμηχανίῃσι πεδήθη.
ἀλγαλέων ἀχέεσσι μετὰ φρεσὶ θυμὸν ὀρίνθην.
αὐτὰρ ἐγὼ προτέρων ἠμερέων μεμνημένος ὥρης,
ἔργα νόῳ κελάδησα θεόσδοτα παμβασιλῆος·
χειρῶν δ' ἔργματα σεῖα περιφραδέως ἀνέμετρον,
χεῖρας ἐμὰς βασιλῆϊ πολυκλήεντι πετάσσας.
θυμὸς ἐμὸς ποθέει σ', ἅτε διψάδος αὔλακες αἴης·
αἶψά μευ εἰσαΐοις, μηδ' ἑῶν πρὶν πνεῦμα μεθείω.
μή μευ κυδιάνειραν ἀποστρέψειας ὀπωπήν,
μηδὲ κατερχομένοισιν ἴσος βόθρονδε φανείην.
σῆς μάκαρ ἐξ ἠοῦς ἐλεητύος εἴθε πυθοίμην·
οὕνεκεν ἐλπωρὴ παναγήραος ἄμμιν ἐτύχθης.
δὸς νύ μοι αἴσιον οἶμον, ὅτι χρέος ἐστὶν ὁδεύειν·
οὕνεκεν ἀμφὶ σὲ θυμὸν ἀεὶ πεπετασμένον ἴσχω.
ἀντιβίων παλάμης με μάκαρτατε ῥίμφα σαώσοις,
πύργον ἐπί σ' ἄρρηκτον ἀεὶ πεφοβημένος εὗρον.
αὐτὸς ἄναξ ἐμός ἐσσι, νόον δέ με σεῖο διδάσκοις.
ἰθεῖαν δ' ἀγαθόν με φέροι χθόνα πνεῦμα θεοῖο.
δός νύ μοι εὐδικίην βιότου ζωφὸν εἵνεκα σεῖο.
θυμὸν ἐμὸν στονόεντος ἄναξ μόχθοιο σαώσοις·
ἐκ δέ μευ ἀντιβίους ἐλέῳ σέθεν εἵνεκ' ὀλέσσοις.
πάντας ἐμῆς δαμάσειας ἄναξ ψυχῆς ὀλετῆρας·

οὕνεκα σὸς θεράπων καταθύμιος εὔχομαι εἶναι.

Ψαλμὸς ρμγ'.

Δαβίδου κλυτὸς ὕμνος ἐπ' ἀντιβίῳ Γολιάτῳ,
καὶ τέτρατος σοφίῃ τῆς πρὶν ἅμ' ἑσπόμενος·
ἔμπα γε μὴν ἑκατοστὸς ἔφυ καὶ τεσσαρακοστός.

Εὐφήμοις μύθεσσιν ἀεὶ θεὸς αἰνετὸς ἔστω,
ὅς παλάμας θώρηξεν ἐμὰς ἐπὶ δηϊοτῆτα·
πύξε δὲ νωϊτέρων μενεδήϊα δάκτυλα χειρῶν.
αἰὲν ἄναξ ἐλεητὺς ἐμὴ καὶ πύργος ἐτύχθης,
ῥυόμενος κακότητος, ὑπερμενέας τ' ἀπαμύνων,
ἐλπὶς ἀγακλείεσσα, καὶ ἄρκιος ἀσπιδιώτης,
λαὸν ἐμὸν παλάμῃσιν ὑφ' ἡμετέρῃσι δαμάζων.
τίς βροτός ἐστιν ἄναξ, ὅτι οἱ ἀναφανδὰ παρέστης,
ἢ φύτλη μεροπήϊς, ὅ μιν φρεσὶν ὧδε γεραίρεις·
ἄνθρωπος κενεοῖς ἰνδάλμασιν ἶσος ἐτύχθη·
ἤματα δ' ἀσταθέϊ σφέτερα σκιῇ ἶσα παρέρπει.
οὐρανὸν ἀγκλίνας πυκινὸν καταβήσαο ποιμήν·
θίγ' ὀρέων καὶ καπνὸν ἄδην σκοτόεσσα τεύξεις.
μαρμαρυγὰς στεροπῆς περιηγέας σκεδάσσας ἅπαντας.
πέμπε μάκαρ βελέεσσι τεοῖς, ἵνα θυμὸν ὀρίνῃς.
χεῖρα τεὴν πέμποις ἐξ αἰθέρος, ὥς με σαώσοις,
καί με πολυσμαράγων ὑδάτων ἀπολύσαιο ὁρμῆς.
χειρὸς ἀπ' ὀθνείων με μάκαρ τότε ῥύεο παίδων,
ὧν στόμα μαψιδίως κενεαυχέας ἔκφατο μύθους·
δεξιτερή τ' ἀθέμιστος ἀεὶ μεταμώνια ῥέζει.
αὐτὰρ ἐγώ τοι ἄεισμα νέον πανυπέρτατε μέλψω·
νευρῆς ἁρμονίῃ δεκάδος τεὸν εὖχος ἀείσω·
ὃς φάος ἡμετέροις βιότου βασιλεῦσιν ὀπάζοις,
καὶ ξίφεος θεράποντα τεὸν Δαβίδον ἔλυσας.

χειρὸς ἀπ' ὀθνείων με μάκαρ τατε ῥύεο παίδων.
ὧν στόμα μαψίδιον κενεαυχέας ἔκφατο μύθους·
δεξιτερή τ' ἀθέμιστος ἀεὶ μεταμώνια ῥέζει·
υἱέες ὧν νεαροῖς πανομοίϊοι ἔρνεσιν ἥβης·
αὐτὰρ θυγατέρεσσι πόσος περὶ κάλλεϊ κόσμος,
ὄμμασί κεν φαίης χρυσάμπυκα νηὸν ὁρᾶσθαι.
παντοίων ἀγαθῶν σφέτεροι βεβρίθασι σηκοί·
ἐξ ἑτέρου δ' ἕτερόν γε περιῤῥέει ἄσπετον ὕδωρ.
τοῖσι μὲν εὔβοτα μῆλα καὶ εὔλοχα πολλὰ τέτυκται,
ζατρεφέες δὲ βόες, καὶ ἐργόνες ἔξοχον ἄλλων.
ἔμπεδα μὲν πάντα σφίσιν ἕλκεα τηλόθεν ἄτης,
οὐδ' ἀμφ' εὐρυπόροισιν ὁδοῖς σφέων ἐστὶν ἀϋτή.
πάντες ἀνολβίζουσι πόσοις βεβαρηότα λαόν.
ὄλβιος, ᾧ τε θεὸς μέγεται φρεσίν, ἔπλετο λαός.

## Ψαλμὸς ρμδʹ.

Δαβίδου κλυτὸς αἶνος ἐρισθενέος βασιλῆος
τέτρατον ἀγακλέων ἠδὲ μέγος σοφίης,
ἔμπα γε μὴν ἑκατοστὸς ἔφυ καὶ τεσσαρακοστός.

Αὐθι τε κυδαίνω σε, βίην δέ σε ὑψόσ' ἀείρω·
οὔνομα δ' ὑμνήσαιμι τεὸν πυκινῇσιν ἀοιδαῖς,
ἐκ γενεῆς γενεὴν δὲ διαμπερὲς ἤματα πάντα.
γηθόσυνος μέλψω σε διηνεκὲς ἦμαρ ἐπ' ἦμαρ·
οὔνομα δ' ὑμνήσαιμι τεὸν πυκινῇσιν ἀοιδαῖς,
ἐκ γενεῆς γενεὴν δὲ διαμπερὲς ἤματα πάντα.
αἰνετὸς ἐσσὶ μάκαρ, καίτοι μέγα κῦδος ἀέρθη,
καί οἱ ἀπέρμαντον πέλεται περιώσιον εὖχος.
γενεὰ σέθεν φύλοισι μακάρτατε φῦλα βοήσει,
καὶ σθένος ἀπερσίοπτον ἀειφραδέως ἀγρεύσει.
σὸν μεγαλοπρεπὲς εὖχος ἀρίζηλον καταλέξει.

σεῖο δ' ἀπαγγελέει τε μακάρτατε θέσκελα πάντα·
ἔργων δ' οὐκ ἐπίεικτον ἀνὰ στόμα δείματι μίξει.
οὔ σευ ἀναύδητος μεγαλαυχέα ἔργα παρέλθοι·
σὸν σθένος ἀστυφέλικτον ἀειφραδέως ἀγορεύσει·
ἐν δὲ δικαιοσύνῃ κεχάροιατο παμβασιλῆος·
οἰκτίρμων βασιλεὺς πανυπέρτατος, ἠδ' ἐλεήμων,
τλήμονα θυμὸν ἔχων, σφετέρην τ' ἐλεητὺν ἀέξων.
μειλιχίην μετὰ πᾶσι θεὸς δεδάηκε φυλάσσειν,
ἔργα κατοικτείρων ὅσα περ τεχνήσατο χειρί.
ἀλήκτῳ κραδίῃ σε μακάρτατε ἔργα βοήσει,
καί σευ ἀγακλεῖειν τὸ ὁσίων γένος αἶνον ἀείσει.
κῦδος ἀνακτορίης πανυπέρτατον ἀνθρώποισι,
καὶ σθένος ἀστυφέλικτον ἄναξ τεὸν ὑμνήσουσι·
θνητὸν μερόπεσσιν ὅπως σθένος ἄφθιτον ἔξεις,
καὶ μεγαλοπρεπὲς εὖχος ἀνακτορίης ἐρατεινῆς.
αἰεὶ κοιρανίη ἁπάσης μεδέουσα γενέθλης.
ἀχράντοις ἐπέεσσι θεὸς περὶ πίστιν ὑφαίνει,
καί οἱ εὐδικίη τελέθει κεκερασμένη ἔργοις.
ἀθάνατος δεδάηκεν ἀεὶ πίπτοντας ἐγείρειν,
ἰθύνειν ὀλοοῦ ὑπὸ ῥήγματος ἄνδρα πεσόντα.
εἰς σὲ μάκαρ λεύσσουσι τά περ τεκτήναο πάντα·
σὺ δώῃς ἅμα πᾶσι κατὰ χρέος ἄρμενον εἶδαρ.
πᾶν γένος ἐκπλήσειας, ἐπὴν σέο χεῖρα πετάσσῃς.
πάντοθεν εὐδικίην μεθέπει βασιλῆος ἀταρποῖς·
ἐκ δ' εὐηγεσίης ὅσιος περιλάμπεται ἔργων.
παντὶ λιταζομένῳ περιίσταται, ἠδὲ φυλάσσει,
ὅς τέ μιν ἱκεσίῃ πανδημιθεῖ μειλίξαιτο.
αἰὲν ἑοῖς δμώεσσιν ἐπικρήνειεν ἐέλδωρ.
ἱκεσίης δ' αἴαν σφετέρης ἀπολύσεται ἄτης.
αἰὲν ἄναξ κακότητος ἑοὺς ἐσάωσεν ἐρίθους·

αὐτὰρ

αὐτὰρ ἀτασθαλίης δαμάᾳ θεράποντας ὀλέθρῳ.
αἶνον παμβασιλῆος ἐμὸν στόμα πιστὸν ἀείσει,
θνητῶν τ' ἄσπετα φῦλα θεοῦ κλυτὸν οὔνομα μέλψει,
ἐκ γενεῆς γενεήνδε μετ' ἀλλήκτοισι γενέθλαις.

Ψαλμὸς ρμϛ.

Ξυνὸς Ζαχαρίαο καὶ Ἀγγαίου πέλει ὕμνος,
πεμπταῖον ξυνέειθον ἔχων θρόον ἀλληλούϊα.
ἔμπα γε μὴν ἑκατοστὸς ἔφυ καὶ τεσσαρακοστός.

ΜΕλπε θεὸν φίλε θυμὲ τεῆς κρατέοντα βιώνης·
ὑμνήσω βασιλῆα πολύλλιτον εἰσόκεν ἕρπω·
ἀθάνατον φόρμιγγι διαμπερὲς ὑμνοπολεύσω.
μηδέποτ' ἡγητῆρσι μετὰ φρεσὶ θάρσυνος εἴης·
μηδὲ βροτῶν τεκέεσσιν ὅθεν φάος οὔποτ' ἐτύχθη.
οἱ ψυχῆς πταμένης, σφετέρην πάλιν εἰς ἐπὶ γαῖαν.
τοῖσι δ' ὁμῶς φθινύθουσιν ὅλαι φθιμένοισι μενοιναί.
ὄλβιος, ᾧ τε θεὸς πανυπέρτατός ἐστιν ἀρωγὸς,
ᾧ τε καὶ ἐλπωρὴ πέλεται βασιλῆος ἐφετμαὶ,
ὃς γαῖαν χλοερήν τε καὶ οὐρανὸν εὐρὺν ἔτευξε, (σης.
πόντον ἐεισμάραγδον, καὶ ὅσα τρέφει οἶδμα θαλάσ-
αἰὲν ἀληθείην μεμαὼς πραπίδεσσι φυλάσσει·
ὅς ῥα βιαζομένοισι δικαιοσύνην ἀναφαίνει·
πᾶσι δὲ πεινήεσσι δίδοι ζωαρκέα δαῖτα.
αὐτὸς ἀλυκτοπέδης πεπεδημένον οἶδε σαῶσαι·
αὐτὸς ῥιγεδανοῦ ὑπὸ ῥήγματος ἄνδρας ἐγείρει·
αὐτὸς ἄναξ τυφλοῖσι νόον πυκινόφρονα τεύχει·
αὐτὸς παμβασιλεὺς ὅσιον γένος ἀμφαγαπάζει·
αὐτὸς ἄναξ δεδάηκε νεήλυδα φῶτα φυλάσσειν,
χήρην τ' ὀρφανικόν τε μετ' ἀγκαλίδεσσιν ἀείραι.
αὐτὰρ ὁδὸν στονόεσσαν ἀμαλδύνειεν ἀλιτρῶν.

νωλεμέως ἄχραντος ἀγακλεέης βασιλεύσει,
ἐκ γενεῆς γενεὴν δὲ θεὸς Σιῶνος ἀνάσσων.

Ψαλμὸς ρμϛʹ.

Ξυνὸς Ζαχαρίαο καὶ Ἀγγαίου πέλει ὕμνος,
ἑκταῖον ξυνέειθον ἔχων θρόον ἀλληλουΐα·
ἔμπα γε μὴν ἑκατοστὸς ἔφυ καὶ τεσσαρακοστός.

Μέλψατε παμβασιλῆα, ἐπεὶ μέλος ἐσθλὸν ἐτύχθη.
αἶνος νωϊτέρῳ καταθύμιος ἔσσετ' ἄνακτι.
κλεινὸς ἄναξ Ἱερουσαλὴμ θεοτερπέα τεύχων.
φῦλον ἐπαθροίσει κεκεδασμένον Ἰσραήλου.
ἰητὴρ οἷσίν τε κατεκλάσθη φίλον ἦτορ,
καὶ σφετέροιο πόνοιο περισφίγγων μελεδῶνας·
μοῦνος ἀμετρήτων ἄστρων δεδάηκεν ἀριθμόν,
ἐξονομακλήδην ὀνομάζων τείρεα πάντα.
νωΐτερος θεός ἐστι μέγας, μεγάλη δέ οἱ ἀλκή·
οὐδὲ ἀνὴρ πινυτῆς μάκαρος κλυτὰ μέτρα νόησεν.
οἶδεν ἀειρέμεναι βασιλεὺς γένος ἠπιοθύμων,
αὐτὰρ δυσσεβέας γαίης πυμάτοισι δαμάζειν.
ἀρχόμενοι βασιλῆα θοῇ κελαδήσατε μολπῇ·
μέλψατε παμβασιλῆα θεὸν φόρμιγγι λιγείῃ,
οὐρανὸν ὃς πολύχαλκον ἑοῖς νεφέεσσι πυκάζει,
γαίῃ ἑτοιμάζων σφετέρῃ φυτίζοον ὄμβρον.
ὃς τόσσον ὑψικόμοις καὶ ἐν οὔρεσι χόρτον ἀέξει,
ἀντέλλων ζυγίοισι βροτῶν μελιηδέα ποίην.
ὃς καὶ τετραπόδων ἀγέλαις πόρεν ἄρμενον εἶδαρ,
καὶ κοράκων ἤρκεσε λιταζομένοισι νεοσσοῖς·
οὔ ποτ' ἐπαινήσειεν ἄναξ σθένος ἄσχετον ἵππου·
κνημάων δ' οὐ πάμπαν ἀγάσσεται ἀνδρὸς ἐρωήν.
μᾶλλον ὅπῃ δμώεσσιν ἑοῖς κεχαρήσεται ἑαπήν.

οἷς δ' ἐλεημοσύνη καταθύμιός ἐστιν ἄνακτος.

## Ψαλμὸς ρμζ'.

Ξυνὸς Ζαχαρίαο καὶ Ἀγγαίου πέλει ὕμνος,
ἕβδομον ἀμφήριστον ἔχων θρόον ἀγγελία·
ἔμπα γε μὲν ἑκατοστὸς ἔφυ καὶ τεσσαρακοστός.

ΑΙνεε τιμήεντα Ἱερουσαλὴμ βασιλῆα·
Σιὼν ὑμνοπόλευε τεὸν βασιλῆα βίοιο·
οὕνεκα σῶν πυλέων στεναροὺς χάλκευσεν ὀχῆας·
ἐν σοὶ σοῖς τοκεῦσι καὶ ἀγακλέας ἤνεσε παῖδας.
ὃς σέθεν εἰρήνη πεφυλαγμένα τέρματα θῆκε·
πλῆσε δὲ πιαλέῃ σε βίῃ μυελοειδέος ἀκτῆς·
ὃς χθονὶ πουλυβοτείρῃ ἐπίρροθον ὤπασε μῦθον,
αὐτὰρ ὃ ῥίμφα θέων μετελεύσεται ἔνθα καὶ ἔνθα·
εἴριον ὡς, ψυχρῆς χιόνος σθένος ὕψοθι φαίνων·
πάσσων καπνοτόκειαν ὅπως σποδὸν αὐχμὸν ὀμίχλης.
εἰδομένην ψωμοῖσιν ἑῷ κρύσταλλον ἰάλλων·
ψύχει οὗ τίς κεν ἑὸν δύναται βροτὸς ἰσοφαρίζειν.
πάντα λόγῳ ζώοντι τακήσεται ὁρμηθέντι·
ὕδατα δ' ἐν πνοιῇσιν ὑπὸ σφετέρης κελαρύζει·
μῦθον Ἰακώβῳ τινυτῷ φίλον ἐξαγορεύων,
κλεινάς δ' εὐδικίας ἱερῶν κλεινῷ Ἰσραήλῳ.
οὐδέποτ' ἀλλοδαποῖσι μετ' ἔθνεσι τοῖον ἔρεξεν,
οὐδὲ δικαιοσύνας σφετέρας τεκμήρατο λαοῖς.

## Ψαλμὸς ρμη'.

Ξυνὸς Ζαχαρίαο καὶ Ἀγγαίου πέλει ὕμνος,
ὄγδοον ἀμφήριστον ἔχων θρόον ἀγγελία.
ἔμπα γε μὲν ἑκατοστὸς ἔφυ καὶ τεσσαρακοστός.

Μέλψατέ μοι μέγα κῦδος ἀπ' οὐρανόθεν βασιλῆος·
μέλψατέ μιν βοόωντες ἐφ' ὑψίστοισι θοώκοις·
μέλψατέ μιν δῆμοι μεγαλοσθενέων στρατιάων·
μέλψατέ μιν πᾶσα σθενέων ἀειδείκετος ἀλκή·
μέλψατε ἠέλιός τε καὶ αἰγλήεσσα σελήνη·
μέλψατε τείρεα πάντα θεόν, καὶ ἀθέσφατος αἴγλη·
μέλψαι τ' ἐπουρανίων δαπέδων ὑπὲρ οὐρανὸν ἄλλον.
κύκλων τ' οὐρανίων καθυπέρτερον εὐαγὲς ὕδωρ.
πάντες ἅμα μελπόντων κλυτὸν οὔνομα παμβασιλῆος·
οὕνεκεν αὐτὸς ἔειπε καὶ ἐβλάστησεν ἅπαντα,
ἧς δ' ὑποθημοσύνῃσιν ἀκαμπέσιν ἐῤῥίζωθεν.
στῆ δὲ διηνεκέϊ τάπερ ἕδρασεν αὐτὸς αἰῶνι.
οὔποτε θεσπεσίη μάκαρος παρελεύσετ' ἐφετμή.
μέλψατε παμβασιλῆα κατὰ χθονὸς εὐρυοδείης,
ἐμπυσαί τε δράκοντες ὁμοῦ δνοφερῇσιν ἀβύσσοις,
πῦρ μετὰ κρυστάλλοισι, χιὼν δ' ἅμ' ἕποιτο χαλάζῃ,
καὶ πνοιὴ ζοφεροῖο καταιγίδος ἠεροφοίτης,
αἰὲν ὑποδρήσοντα θεοῦ νημερτέϊ μύθῳ·
οὔρεα, δενδροκόμων τ' ὀρέων λασιαύχενες ἄκραι,
κέδροι παντοδαπαί, καὶ δένδρεα τηλεθόωντα,
τετραπόδων ἀγέλαι, καὶ ὀρέστερα θηεία γαίης,
ἑρπετά, καὶ πτερύγεσσι μεταΐσσοντα πετηνά,
λαοὶ παντοδαποί, καὶ ἐρισθενέες βασιλῆες,
εὔθεσμοι μετὰ πᾶσι δικασπόλοι ἡγητῆρσιν,
ἡβηταὶ κουροὶ καὶ παρθένοι ἑλκεσίπεπλοι,
ἴφθιμοι πολιοῖσι νεώτεροι εἰς ἓν ἰόντες,
εἶν ἑνὶ μελπόντων κλυτὸν οὔνομα παμβασιλῆος·
οὕνεκεν ὑψώθη βασιλήϊον οὔνομα μοῦνον.
αἶνος ἑὸς γαῖάν τε καὶ οὐρανὸν ἀμφικαλύπτει.
καὶ λαοῦ σφετέροιο κέρας μεγαλαυχὲς ἀείρει.

ὕμνος δ' εὐκλείης μελέτω γενεῇσι δικαίων·
δήμῳ θεσπεσίῳ πυκινόφρονος Ἰσραήλου.

Ψαλμὸς ρμθ'.

Ἡδὺ μέλος ἑκατοστὸν ἔφυ καὶ τεσσαρακοστὸν
εἴνατον οὐράνιον φορέον θρόον ἀγγελία.

ΜΕλψατέ μοι βασιλῆϊ νέην καὶ ἐπήρατον οἴμην·
αἰὲν ἐχεκλισίης ὁσίων μεμελημένον ὕμνον.
Ἰσραῆλος ἄνακτι φίλῳ τέρποιτο πεποιθώς.
υἱέες αὖ Σιῶνος ἑῷ βασιλῆϊ χαιρεῖεν.
οὔνομα μελπόντων βασιλήϊον ἀμφὶ χοροῖσιν·
ᾀδόντων μὲν τύμπανον αὖ κιθάρην τ' ἀνάγοντες·
οὕνεκά οἱ σφέτερος καταθύμιος ἔπλετο λαός.
φέγγει δ' ὑψώσει φίλον γένος ἠπιοθύμων.
ἔνθ' ὁσίων ἐρατειναὶ ἐπαυχήσουσι γενέθλαι·
ἐν δ' ἱεροῖς λεχέεσσι φίλῳ κεχαροίατο θυμῷ.
λαυκανίῃ βασιλῆος ὑπερτερείας φορέοντες,
φάσγανον ἰθυπόροις παλάμῃς ἄμφηκες ἔχοντες,
δήμων παντοδαπῶν κακοεργέας ἄνδρας ὀλέσσαι·
καὶ ζυγὸν ἀθάνατον λαοὺς μεθιέντας ἐλέγξαι.
τῶν γὰρ φίλους βασιλῆας ἀλυκτοπέδῃσι πέδησεν,
ἐν δὲ σιδηρείῃσι πέδῃς παλάμας ἐριτίμων.
γραπτήν τ' εὐνομίην σπουδῇ μετὰ τοῖσι τελέσσει.
ὧδ' ὁσίοις κλέος ἐσθλὸν ἑοῖς μετὰ πᾶσιν ἐτύχθη.

Ψαλμὸς ρν'.

Πένθ' ἅμα τε δεκάτης δεκάδος μέλος ἀγγελία.

ΜΕλψατέ μοι βασιλῆα, χοροὶ δ' ἅμ' ἕποιντο δικαίων.
μέλψατέ μιν σταθερῇ κράτεος περιθάρσυνον ἀλκῇ.

μέλψατέ μιν σφετέροισιν ἀεξόμενον σθενέεσσι·
μέλψατέ μιν μεγαλιζόμενον πυκινοῖσιν ἐπ' ἔργοις·
μέλψατέ μιν σάλπιγγος ἐρισθενέος παταγοισι·
μέλψατέ μιν φόρμιγγι καὶ ἁρμονίῃ ἐρατεινῇ.
μέλψατέ μιν τυμπάνοισι καὶ εὐφήμοισι χοροῖσι·
μέλψατέ μιν κιθάρῃ τε καὶ ἐν χορδῇσι λιγείαις·
μέλψατε θείνοντες λιγυηχέα κύμβαλα χερσί·
μέλψατέ μιν παλάμης ἀλαλαγμοῦ κύμβαλ' ἰόντες.
πνοιὴ παντοδαπὴ κελαδήσατε παμβασιλῆα.

## Ψαλμὸς ρνα΄.

Πέμπτης πρὸς δεκάτῃ δεκάδος πέλε ἔκτοθεν
ὃν Γολιάτῳ μουνομαχήσας ἦσε Δαβίδος. (ὕμνος,

Ἀμφὶ κασιγνήτοισιν ἐμοῖς μάλα τυτθὸς ἐτύχθην,
παῦρον κατὰ δώματα νέος μετὰ πᾶσιν ἀκούων,
εἰροπόκων οἴων ἀγέλας ἀγροῖσι νομεύων,
χεῖρες ἐμαὶ φόρμιγγα λιγύθροον ἐντείναντο·
δάκτυλα δ' ἁρμονίην θεοπρεπέα τεκτήναντο.
τίς κεν ἀπαγγείλειεν ἐρισθενέτῃ βασιλῆϊ·
αὐτὸς ἄναξ δεδάηκεν ἐμεῖο ἐπέων ὑπακοῦσαι.
αὐτὸς ἐπουρανίου στρατιῆς ταχὺν ἄγγελον ἧκεν,
ἐκ δέ με πατρῴης ἀγέλης ἐξείλετο μήλων,
καί μευ πιαλέῳ δέμας αὐτὸς ἔχρισεν ἐλαίῳ.
ἠμὲν ἀδελφειοὶ μεγάλοις ἔχον ἠδὲ καὶ ἐσθλοὶ·
ἀλλ' οὔ σφιν βασιλεὺς κλέος ἤθελεν ἐσθλὸν ὀπάσσαι.
ἀλλοδαποῦ καλέοντος ἐναντίον ἀνέρος ἤϊεν,
αὐτὰρ ὅ μ' εἰδώλοισιν ἑοῖς νείκεσσε πεποιθώς·
τοῦ δ' ἐγὼ ξίφος ὀξὺ ῥυσσάμενος παρὰ μηροῦ,
αὐχένος ὑψηλοῖο κάρη ἀπέκοψα παραστάς·
λώβην δ' ἐξελάασσα περίφρονος Ἰσραήλου.

Αἶνον ἄγω σοὶ θεῖον ὑπέρτατε ἐν βασιλεῦσιν,
Οὕνεκεν ὀτραλέως περιηγέα βίβλον ἅπασαν,
Δαβίδου πινυτοῦ περικαλλέος ἐκπολυπεῦσαι
Δῶκας ἐμὴν πανάποτμον ἐν ἀνδράσιν ἔμπα γενέθλην.

Σελίς. στίχου ἀρχή.

2 ἀλλ᾽, ὧδε, δευτέρ.

καὶ χολ. ἀμπνώων.

τῆμος, συνέντε.

3 Εὐδοκίης, ἴσως, Εὐδικίης.

6 πάμπαν, κηδεμονῆος ἀμαύτορος.

9 οὐδὲ, ἐπελήσατο.

13 ἐργατίνης. μετὰ τοῦτον τὸν στίχον ἐν ἄλλῳ ἀντιγράφῳ εὑρίσκεται ταῦτα,

λαυκανίην οἰχθέντι τάφῳ φορέουσιν ὁμοίην,
γλώσσης ἀργαλέῃσι δόλον περιμητιόωντες·
οὐλόμενον πέσσουσ᾽ ὀφίων ὑπὸ χείλεσιν ἰόν·
ῥιγίστοιο πόνου καὶ ἀρῆς στόμα τῶνδε βέβυσται.
ὦκα πόδας θύνουσιν ἐπ᾽ ἀνδροφόνοισι κελεύθοις·
λισιμελὲς σφετέρῃσιν ὁδοῖς περιπέπταται ἄλγος,
οὐδ᾽ ἔπι εἰρήνης λαθικηδέος εἶδον ἀταρπόν,
οὐδὲ φόβον κατένωπα θεουδέα θῆκαν ὀπωπῆς.

εἶτα ἕπεται,

τῶν δ᾽ ἀγαθῶν, καὶ τὰ λοιπά.

14 μηδὲ, δυσάλυκτον. καὶ, ἐγείρει.

17 ἀθαν. ἀπείρατος.

20 θεσμὸς, ψυχοτρέφος.

23 πρῶτον, Ἀγαθὸν ἑῴας ἀντιλήψιος μῆθος,
Δαβίδος εἰκοστόν τε καὶ πρῶτον βοᾷ.

25 αὐτῶν, διηνεκέος.

ζῇ δὴ, δοῦλον δή ἔσεταί οἱ.

26 Πρὸς, κλυτὸν ἦτορ.

32 ἀρχομένοις, ἐγρομένοις.

Δαβίδος, πινυτός τε ὑμνησάμενος.

34 ἀπρ. ματίης τε ὀδύσ.

35 ἔνθεν, ὑπάκουε.

ὄλβιοι, οἵτ' αἰεδ.

36 ὀφθαλμῶν. οὗτος ὁ στίχος περιττεύειν δοκεῖ, ὃν οὐδὲ εἶχεν ἓν τῶν ἀντιγράφων.

36 οὐδ', ταρβοῖεν ἀνάγκην.

42 Εννεπ. ἀτασθάλων.

44 καπνῷ, ὄμβρος.

47 καί με δικ. μετὰ τοῦτον τὸν στίχον γράφεται καὶ ἄλλος ἐν ἑνὶ τῶν ἀντιγράφων, ὅδε,

τηλύγετόν μ' ἀπορίψαν ἐλέγχει νεκρῷ ὁμοῖον.

49 ἴχνος, ἐν ἀτραπιτοῖσιν ἑαῖς.

ἀγγέν ων, ἀριθμοῦ.

50 νῶϊτ. ὅσσοισι διοπτεύσαις.

·· οὐδέ μιν, παλάμησι λίπῃτο.

55 εὖδικ. ἀθεμίστιον ὕβριν.

58 μήψατε, ἐχέφρονι θυμῷ.

59 γαίης, ἐμοῖς ἐπέεσσι.

ἐκ λιγυρῶν, διαμόρφομαι.

60 ἀκλήροις. μετὰ τοῦτον τὸν στίχον εὑρίσκεται καὶ ἄλλος ἐν ἑνὶ τῶν ἀντιγράφων, ὅδε,

νεκροκόμοις τύμβοισι καὶ οὐ ναίουσι μελάθροις.

61 ἐκ δὲ, οὐδὲ πτῆς.

πάντα γὰρ, ἐν ἄλλῳ παρεισβέβληται καὶ ἄλλος στίχος ἰσοδυναμῶν, οὗτος,

πάντα γὰρ αὐτὸς ἔτευξα πατὴρ δρυμὸς ἔλλαχε φέρβειν.

62 ξυνὸς μετὰ τοῦτον γράφεται καὶ ἄλλος στίχος, ὅδε,

ξυνὸς μαχλοσύνης μοιχηρέα μοῖραν ὀφέλλων.

64 εἰ θυσ. ἐπέπειλας.
ἀμφὶ δὲ, γλώσσῃ καὶ ἔβλυσας.
68 εἰρήνῃ, εἰρήνη.
80 ὅστ', μετείω.
97 μνησ. πολυγηθέα.
98 οὔατα, νωΐτερῳ.
ἀμμ. ὁμῶς.
101 καίοι, ἐν ὕδασι. ἴσως, ἐν ἤθεσι.
105 αὖτα, γουνάσονται.
108 ἔνθεν, περὶ τε θυμβρος αἴης.
111 αὖθις Ἰακώβου δωρήσαο λινίδιον νόσον.
ἐν ἄλλῳ δὲ,
αὖτις Ἰακώβου δωρήσαο λινόδι νόσον.
ἴσως, λινίδι νόσον.
116 ὡς μέγ. ἔλλαβε πάντας.
132 πάντες, σὴν θωμέοιεν εὐκλείην.
134 οὐδὲ, τόπον βλεφάροισι.
139 θάπτ. πρὸ τάγελον ἀγκήν.
163 καὶ θυμὸν, καὶ μῦθον θεράπευε τεῷ συμφερέα δμο-
νι δοίης.
164 Θεσπέσιον, ἐξεπετάσθη.
174 γλαρόται, γλοπένοι.
ἔσται, ὄλβιστον.
188 αὖτις, ἀλυκτοπέδης.

TYPIS REGIIS EXCVDE-
BATVR PARISIIS
MENSE OCT.
M. D. LII.